Л-6.4
/44

УНИВ. БИБЛИОТЕКА
Ф И. Бр. 14363

ΙΣΤΟΡΙΑ ΑΛΕΞΑΝΔΡΟΥ.

DIE ARMENISCHE ÜBERSETZUNG
DER
SAGENHAFTEN ALEXANDER-BIOGRAPHIE
('PSEUDO-CALLISTHENES')

AUF IHRE MUTMASSLICHE GRUNDLAGE ZURÜCKGEFÜHRT

VON

RICHARD RAABE.

УНИВЕРСИТЕТСКА БИБЛИОТЕКА * БЕОГРАД *

LEIPZIG
J. C. HINRICHS'SCHE BUCHHANDLUNG.
1896.

Die vorliegende Schrift will denen, welche sich für die sagenhafte Alexander-Biographie [‘Pseudo-Callisthenes’] interessieren, einen genauen Einblick in den gesamten Inhalt der armenischen Übersetzung[1] dieses merkwürdigen Werkes vermitteln und einen Beitrag liefern zur Bestimmung des Verhältnisses, in welchem diese Übertragung zu den verschiedenen uns bekannten griechischen Recensionen[2] und der nach Julius Valerius benannten lateinischen Bearbeitung steht.

Wenn der Verfasser, anstatt eine Übertragung ins Deutsche zu geben, den Versuch gemacht hat, unter durchgehender Berücksichtigung der publizierten griechischen Recensionen die griechische Grundlage dieser Übersetzung zu reconstruieren, so bestimmte ihn dazu einerseits der Wunsch, dem Leser die Vergleichung der armenischen Version mit jenen Recensionen zu erleichtern, andrerseits die Überzeugung, dass sich auf Grund einer sorgfältigen Erwägung des armenischen Ausdrucks mit grösserer Sicherheit feststellen lasse, welche griechische Vorlage der Übersetzer habe wiedergeben wollen, als vom deutschen Ausdruck aus. Nach Lage der Sache konnte er dabei nicht darauf ausgehen, bei dem Armenier unter allen Umständen einen von den vorliegenden griechischen Ausdrücken wiederfinden zu wollen. Er nahm demgemäss einen vorhandenen Ausdruck nur dann auf, wenn er die Überzeugung gewann, dass der Übersetzer wirklich diesen habe wiedergeben wollen. Wo dies nicht der Fall war, gab er — zuweilen vielleicht, bei nur geringer Verschiedenheit der Bedeutung, zu scrupulös — die armenischen Worte auch durch nicht überlieferte Wendungen wieder.

Zur Bequemlichkeit des Lesers sind sowohl die Abweichungen

---

[1] Պատմութիւն Աղեքսանդրի . . . im Druck erschienen 1842 in Venedig in der Druckerei der Mechitaristen. [2] Pseudo-Callisthenes. Primum edidit Carolus Müller. Paris, Didot 1846 — in Verbindung mit Fr. Dübner's Arriani Anabasis et Indica. Und: Pseudo-Callisthenes. Nach der Leidener Handschrift herausgegeben von H. Meusel, Leipzig, Teubner 1871.

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА БЕОГРАД

der in Betracht kommenden griechischen Recensionen[1] und der Julius Valerius zugeschriebenen lateinischen Bearbeitung, als auch die Fälle von Übereinstimmung häufig, wo es von Wichtigkeit erschien, in den Anmerkungen notiert worden. Die Varianten der armenischen Handschriften sind durchgehends berücksichtigt, angeführt jedoch nur insoweit, als sie für den verfolgten Zweck förderlich waren.

Bei Anführung der griechischen Recensionen hat der Verfasser sich der von Müller eingeführten Bezeichnungen[2] bedient: A = cod. Paris. Nr. 1711 [aus dem 11. Jahrh.], B = cod. Paris. Nr. 1685 [aus dem Jahre 1469], C = cod. Paris. Nr. 113 [aus dem Jahre 1567]. Durch L bezeichnet er den nur selten angezogenen Leidener Codex und durch V die lateinische Bearbeitung, während er das Zeichen AR für den armenischen Text verwendet. Durch M verweist er einfach auf den von Müller gegebenen Text, seltener auf eine von Müller gemachte Anmerkung.

Der armenische Text ist im allgemeinen sehr gut. Doch hat der Übersetzer nach mancherlei Anzeichen nicht überall eine intakte und gut lesbare Vorlage vor sich gehabt, und hierin mögen auch einige Kürzungen, die sich in der armenischen Übersetzung finden, ihren Grund haben. Hin und wieder schien es einiger Ergänzungen und Änderungen zu bedürfen. Der Verfasser wünschte nämlich einen Text zu geben, der, ohne der Wissenschaftlichkeit irgendwie Abbruch zu thun, in sich zusammenhängend und als Ganzes lesbar wäre, um auch solchen die Kenntnisnahme dieser Schrift zu empfehlen, die, ohne selbst Forscher auf diesem Gebiete zu sein, aus geschichtlichem oder literargeschichtlichem Interesse an ihr Anteil nehmen könnten, die aber nicht in der Lage sind, die schwerer erreichbare Müller'sche Ausgabe sich zu nutze zu machen.

Zur Bezeichnung der Ergänzungen dienen eckige Klammern[3]. Wo diese eine andere Bedeutung haben, ist dies immer ausdrücklich angemerkt worden. Auch die als Vorschläge gemeinten Änderungen sind immer deutlich als solche gekennzeichnet.

---

[1] In Betracht kommen der Hauptsache nach nur die von Müller durch A und B bezeichneten [s. den Text] und ausserdem diejenige Recension, welche die Grundlage für die lateinische Bearbeitung gebildet hat. [2] Von Abkürzungen seien erwähnt: w = 'wörtlich'; verm. = 'vermutlich' oder Formen von 'vermuten'; l. = 'lies'. [3] Dagegen sind runde Klammern verwendet, um kleinere Erweiterungen zu kennzeichnen, die der Verfasser auf Rechnung des armenischen Übersetzers setzt, welcher öfter einen Begriff durch mehrere Worte wiedergiebt.

Zum Verständnis einiger sonst noch in den Anmerkungen vorkommenden Bezeichnungen sei das Folgende bemerkt:

Die armenischen Editoren der Übersetzung haben von den 10 Handschriften, die ihnen zur Verfügung gestanden haben, 2 als 'zweifelhafte' bezeichnet, weil sie von den von ihnen für massgebend gehaltenen Handschriften, namentlich von der ihrem Drucke zu Grunde gelegten, vielfach abwichen, weil Unentbehrliches weggelassen, dagegen Fremdartiges zugesetzt war[1], und weil sie überdies durch vulgäre Diction entstellt waren. Diese sind von mir ἀντίγραφα ἀμφίβολα genannt worden. Ferner geschieht einer in Sis geschriebenen Hds. Erwähnung, von welcher die Herausgg. urteilen, dass sie bei übrigens fester Ordnung überschiessende Partien enthalte, die teils sich als offenbare Wiederholungen darstellten, teils doch von dem in allen übrigen Handschriften Gebotenen abwichen. Endlich findet sich der Ausdruck 'abgekürzte Relationen'. Solche kürzere Behandlungen des Gegenstandes lagen den Herausgg. in 3 Hdss. vor. — Zur Klasse der zuletzt erwähnten kürzeren Relationen gehört auch, soviel ich beim Durchlesen des ersten Viertels gesehen habe, eine im Jahre 1535 in der Stadt Sebastios geschriebene Hds., die sich in der Königlichen Bibliothek in Berlin befindet. Sie ist schlecht geschrieben und erhalten und durch zahlreiche Illustrationen primitiver Art mehr verunstaltet, als verziert. Gegenüber dem guten Texte der Mechitaristen-Ausgabe schien sie mir vorerst nicht in Betracht zu kommen.

Eine griechische, unsre Alexander-Biographie enthaltende Hds. dürfte sich im Mechitaristenkloster auf S. Lazzaro bei Venedig befinden; wenigstens beziehen sich die Herausgg. der armenischen Übersetzung in ihren Anmerkungen öfter auf eine solche. Ein brieflich unternommener Versuch, Näheres über dieselbe festzustellen, führte zu keinem Resultat. Nach mancherlei Anzeichen handelt es sich um eine Hds., die einen ähnlichen Text bot, wie die von Müller durch C bezeichnete[2].

Was weiter die Frage über das Verhältnis der armenischen Übersetzung zu den uns bekannten griechischen Recensionen und zu der nach Julius Valerius benannten Bearbeitung betrifft, so will ich, nachdem ich dem Leser reichliches Material zu eigener Beurteilung dargeboten habe, diese hier nicht ausführlich behandeln, sondern nur kurz andeuten, welche Annahme sich mir auf Grund der von mir gemachten Beobachtungen am meisten empfiehlt.

---

[1] Leider ist von dem Material, auf welches sich dies Urteil stützt, von den Herausgg. nichts angeführt worden. [2] Allerdings findet sich am Schlusse von ρπβʹ. als griechische Lesart wiedergegeben: καὶ οὐδεὶς ἐσώθη τῶν διωκόντων Περσῶν — die ich in den publizierten Recensionen nicht finde.

Man setzt gewöhnlich voraus, dass der armenische Übersetzer nach einer Hds. gearbeitet habe. Indessen scheint mir mancherlei dafür zu sprechen, dass derselbe mehrere Recensionen zur Gestaltung seines Textes benutzt hat, deren eine dem Cod. A, die andere Cod. B, eine dritte einer Form des Stoffes entsprach, wie sie der lateinischen Bearbeitung zu Grunde gelegen hat.

Man erkennt an einigen Stellen deutlich die Zusammenfügung verschiedener Quellen, die schon in der von den armenischen Editoren zu Grunde gelegten Hds. vorhanden gewesen sein muss. [Vgl. ϙγ'. σνη'. Anfang und auch ογ'. σκδ'.]

Ferner bietet A, mit dem Æ ausserordentlich vieles gemein hat, an manchen Stellen eine ausführlichere Erzählung. Wie mir scheint, sind wir nicht zu der Annahme berechtigt, dass die bei Æ fehlenden Partien von A sämtlich erst nach Anfertigung der armenischen Übersetzung in A[1] eingeschoben worden seien.

Hinwiederum, wo A kürzer ist — doch nicht allein in diesem Falle, sondern z. B. auch gleich im Anfange der Schrift —, giebt Æ einen B entsprechenden Text wieder. So ist in σϑ'. ein umfangreicher Brief an Olympias und Aristoteles, den A — ohne Anzeichen einer Lücke — nicht hat, aus einer B entsprechenden Recension, wenn auch mit kleinen Abweichungen, eingefügt.

Endlich finden sich kleinere Abschnitte, die nur in V ein Gegenstück haben [Vgl. besonders λϑ'. bis μϛ'. σνε'. f.].

Allerdings bleibt noch ein Rest übrig, der durch unsre Annahme keine Erklärung findet. Æ bietet Einzelnes — nicht ganze Erzählungen, sondern Sätze und einzelne Worte, besonders Eigennamen —, was sich weder bei A, noch bei B, noch bei V findet[2]. Indessen ist zu erwägen, dass der lateinische Bearbeiter seine Quelle offenbar nicht wörtlich wiedergegeben hat, dass A und B im Laufe der Zeit kleine Einbussen erlitten haben können, und dass bei Æ die Möglichkeit von Interpolationen nicht ausgeschlossen ist.[1]

An sich wäre ein solches kritisch-eklektisches Verfahren wohl begreiflich, und die Annahme, dass der armenische Text auf diese Weise entstanden sei, scheint mir weniger Schwierigkeiten zu bieten, als die andere, dass der Übersetzer eine Vorlage wiedergegeben habe, in welcher schon mehrere Recensionen in der in Æ vorliegenden Art verbunden waren.

Bezüglich des von mir gegebenen Textes bitte ich den Beurteiler überall auf das bei Müller vorfindliche kritische Material Rücksicht zu nehmen. Er wird dann erkennen, was mich im einzelnen zur Wahl dieses oder jenes Ausdrucks, dieser oder jener Form, dieser oder jener Wortstellung, dieser oder jener syntaktischen Verbindung bestimmt hat, dort auch die Erklärung für einige Ungleichmässigkeit der Schreibung finden, wie sie z. B. in dem Wechsel von σσ und ττ begegnet. Zuweilen habe ich der armenischen Wortstellung, weil ich sie für beabsichtigt hielt, eine grössere Concession gemacht, als ihr wohl zukommt. Ich bitte daher 4, 5. v. u.: τὸ φοινίκινον σκῆπτρον — 18, 22: τοῦ Καπετωλίνου Διὸς — 23, 4: τὴν θνητὴν φύσιν — 36, 4: ἡ Μακεδονικὴ χεὶρ — 46, 23: τὸ χαλκοῦν ἄγαλμα — 53, 15: τὸ Μακεδονικὸν ἔθνος zu lesen. Ähnliche, möglicher Weise unberechtigte, Beeinflussungen können auch bei synthetischer Apposition eines Appellativs zu einem Eigennamen [Vgl. 30, 6 v. u. 31, 28. 50, 6. 54, 8] und bei der Behandlung der abhängigen Genitive vorgekommen sein.

Schliesslich erlaube ich mir zur Berichtigung und Ergänzung noch einiges andere anzuführen. 5, 25 l. τῷ ἱέρακι. 5, 31 l. κέρατα. 7, 25 l. βουλόμενος. 14, 2 kann st. Βαλκαῖος auch Βαλχαῖος gelesen werden. 16, 30 l. οὐχ ὑπεδέξατο. 21, 4 l. ἐστιν. 23, 3 l. τὸν βωμὸν, obwohl Æ ausdrücklich die Abwesenheit der Determination hervorhebt. 24, 3 v. u. l. ἐκέλευσεν. 33, 17 ist wegen der Vergleichung mit Orpheus die am nächsten liegende Übersetzung σὺν θηρίοις vielleicht doch beizubehalten. Zur Erklärung könnte man vielleicht auf 77, 28 verweisen. Übrigens würde die Wiedergabe διὰ θηρίων wohl auch nicht notwendig eine Veränderung der Casusendung bedingen, da die Construction der Präpositionen im Armenischen eine ziemlich laxe ist. 38, 16 l. ἀπέ-

---

[1] resp. eine A entsprechende Recension — [2] Vgl. ιγ'. über die Behandlung der Schlange. λα'. das Ross Ἀρείων. νδ'. ein 2tes Sprichwort. νϑ'. Erwähnung des Peirithoos. ο'. Θετταλῶν καὶ Θρᾳκῶν. οε'. Ζεὺς Καπετωλῖνος. ρκβ'. Αἴαντος. ρλϑ'. Proteas. ρμβ'. Boëdromios, Erechtheus, Antimachos. ρμγ'. Timocrates und Diognet. ρνη'. über das Quellgebiet des Aradsani, Ararat, Ἄγγλη χώρα. ρξζ'. βύρσαι der getöteten τετράποδες. ρϙδ'. Θαλίς, Γιλάνη, Γιστάνης. ρϙϑ'. Verminderung der Abgaben. σκδ'. Grund des frühzeitigen Todes; 2) der Schluss des Cp. von den Merkwürdigkeiten [ein kleiner Abschnitt, von welchem sich nur in der syrischen Übersetzung ein Gegenstück findet]. σνζ'. Heliopolis = πόλις χαλκῆ. ρσϑ'. ὦ ἄφυκτον . . . 2) Die Erwähnung der Mutter. ρϙ'. Anfang. ρϙζ. Warnung vor den Seinigen und der Schluss über Dagipharta und Oxydarkes. ρε'. von dem Tragen der Götter. σϑ'. Schluss. ρϙϑ'. Arier und Nichtarier.

[1] Als eine solche ist vielleicht die Angabe über das Quellgebiet des Aradsani zu betrachten.

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА БЕОГРАД

ϑανεν. 40, Anm. 3. l. տուելոյ. 41, 27 l. ἠγανάκτησαν st. ἐστασίασαν. 45, 4 v. u. l. δίδωσιν. 55, Anm. 11. Bei der versuchten Erklärung von σεπάστανον hatte ich eine Änderung der Endung in Aussicht genommen. Die Var. սեբաստային [σεβαστός] ist wohl nur ein Versuch, an Stelle des unverstandenen σεπάστανον etwas einigermassen Verständliches zu setzen. 56, 29 l. κατενόησεν. 59, 4 v. u.: [καὶ]. 69, 7 könnte auch Ἀλεξάνδρῳ καὶ Ῥωξάνῃ gegeben werden; dann käme die Anm. in Wegfall. 83, 2 l. ἀνατολήν. 95, 11 l. μεγάλῃ. 96, Anm. 1 l. entspräche. Einige die Orthographie und Construction betreffende Anmerkungen wollen bloss auf die gewöhnliche und normale Schreibung und Verbindung hinweisen.

Friedenau b. Berlin, im Juni 1896.

1 θεῶν ἀπόγονοι add. A, äthp. γῆς μέτρα καταληψόμενοι, θαλάσσης κύματα ἡμερωσάμενοι A.
ποταμὸν Νεῖλον διαμετρησάμενοι add. A — zu A stimmt syr. —

Vχαλκῆν add. A, hist., syr. — BC lassen es aus.

=B, A, syr. ἐπεκαλεῖτο τοὺς ἀγγέλους καὶ θεὸν Λιβύης Ἄμμωνα

V In A [illegible] [illegible], [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]. Mit Arm.
stimmen B, C, syr., hist.

A: μετὰ ἱκανὸν χρόνον ἐκ τῶν ---- κατασκόπων παρῶν ποτέ τις εἶπεν [illegible]

παραπεμψάμενος πάντα τὸ ἐν εἰρήνῃ εἶναι ἐπίσκεψαι, A
— — —— — τοῦτο ἐπεσκέψαι L
——
—— νῦν τοὺς εἰρηνικοὺς πάντας τρόπους ἐπὶ τὰς ἐν πολέμοις παρατάξεις
γίνου ἕτοιμος B

O N., so [illegible] [illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible] [illegible] syr. — Hist. lässt es aus.

[illegible]

I, 1.2.

ΙΣΤΟΡΙΑ[1]

ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΟΣΜΟΚΡΑΤΟΡΟΣ

ΑΛΕΞΑΝΔΡΟΥ

ΤΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Βίος ἐνάρετος καὶ πράξεις γενναῖαι καὶ ἅμα τελευτὴ θαυμασία.

Müller I

Οἱ σοφοὶ[2] τῶν Αἰγυπτίων | γῆς καὶ θαλάσσης μέτρον καταλαβόμενοι[3] καὶ τοὺς τοῦ οὐρανοῦ ἀστέρας ἀριθμήσαντες παραδεδώκασι πάσῃ τῇ οἰκουμένῃ δύναμιν, τὴν τάξιν καὶ εὕρεσιν τῶν λόγων καὶ τὴν τέχνην τῶν ἔργων. Φασὶ γὰρ Νεκτανεβῶ[4], τὸν τελευταῖον βασιλέα τῆς Αἰγύπτου, μεθ' ὃν τῆς βασιλικῆς τιμῆς ἐξέπεσε[5], τῇ μαγικῇ ἐπαοιδῇ πάντων περιγενέσθαι, ὥστε τὰ κοσμικὰ στοιχεῖα ὑποτάσσεσθαι ἑαυτῷ. Εἰ γάρ ποτε αὐτῷ νέφος[6] ἐπέβη, οὐκ ἔσκυλεν[7] εἰς μηχανήματα πολεμικά, οὐδὲ παρεσκεύαζεν ὅπλων πλήθη, οὐδὲ ἡτοίμαζε σιδήρους ἀνδροφόνους, οὐδὲ προσῆγε σκεύη εὐμήχανα, ἀλλ' εἰσερχόμενος εἰς τὰ βασίλεια μόνον, λαμβάνων[8] λεκάνην Vἑαυτὸν μόνον συνέκλειε καὶ ἐποίει τὰς λεκανομαντείας. Ἔβαλλε γὰρ ὕδωρ πηγαῖον[9] εἰς λεκάνην καὶ ταῖς χερσὶν ἔπλασσεν ἐκ κηροῦ πλοιάρια καὶ ἀνθρωπάρια[10] κήρινα, καὶ οὕτως ἐτίθει τὰ ἀνθρωπάρια ἐπὶ τῶν πλοιαρίων καὶ ἐτίθει ἐν τῇ λεκάνῃ, καὶ ἔμπνοα ἐγίγνοντο τὰ ἀνθρωπάρια. Αὐτὸς δὲ ὁ Νεκτανεβῶς ἐβεννίνην ῥάβδον ἔχων ἐν τῇ χειρὶ ἐπᾴδων ἐπεκαλεῖτο τοὺς χθονίους θεοὺς καὶ τοὺς ἀερίους δαίμονας, καὶ οὕτως ἐβάπτιζε τὰ πλοῖα τὰ ἐν τῇ λεκάνῃ, καὶ τούτων βαπτιζομένων[11] τὰ ἐν τῇ θαλάσσῃ πλοῖα τὰ ἐπερχόμενα αὐτοῖς τῶν πολεμίων διεφθείροντο. VΚαὶ διὰ τὴν πολύπειρον τοῦ ἀνδρὸς μαγικὴν δύναμιν ἐν εἰρήνῃ ἦν ἡ βασιλεία αὐτοῦ.

α'. [illegible] [illegible] [illegible] A.

[illegible] [illegible] = BC

2. Χρόνου δὲ ἱκανοῦ παρελθόντος[12] οἱ παρὰ τοῖς Ῥωμαίοις καλούμενοι ἐξπλωράτορες καὶ παρὰ τοῖς Ἀρμενίοις Լրտեսք[13] ἐλθόντες πρὸς Νεκτανεβῶ ἀπήγγειλαν νέφος στρατοπέδων ἐληλυθέναι. Προσελθὼν γὰρ αὐτῷ ὁ στρατάρχης εἶπε· "Μέγιστε βασιλεῦ, ἀπόπεμψαι[14] τὰς εἰρηνικὰς ἑορτὰς

β'. = BC

---

[1] διήγησις. [2] oder σοφώτατοι. [3] w: 'das Mass erlangen'. [4] Die Länge der Endsilbe ist nicht kenntlich gemacht, wie meistens auch beim Namen Ἄμμων [Ausnahme σκδ'.]. Dagegen ist in Νέστωρ, Καραγώς der O-Laut ausdrückl. als lang bezeichnet [durch Լ]. [5] sc. ἡ Αἴγυπτος. [6] Schwarm, Truppe. [7] sc. τὸ στρατόπεδον [A]. [8] Anm. der Hrsgg. 'Im Griechischen steht τιθείς.' Der von den arm. Editoren benutzte griech. Text muss sich demnach an BC angeschlossen haben, da A λαμβάνων hat. [9] A: ὕδατος ὀμβρίου. [10] ναῦς καὶ ἀνθρώπους. [11] Wohl: 'ի սոյզ մխրտելոյ st. —ոց. [12] l. գնացելոյ st. —ոց, wiewohl eher անցելոյ zu erwarten wäre. [13] spr. lertesq [= κατάσκοποι]. [14] 'entferne'.

ἐλάμβανε

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА БЕОГРАД

M.

χορευμάτων καὶ εἰς πόλεμον ἐπίστρεφε, μέγα γὰρ νέφος ἐπίκειται. οὐ
γὰρ ἓν ἔθνος ἡμῖν ἐπέρχεται, ἀλλὰ πολλά. εἰσὶ γὰρ Ἰνδοί, Καύανες, Κουμαῖοι,
Ὀξυδάρκαι, Ἴβηρες, Κώνιοι, Λελάπατες, Βομτυραῖοι, Ἀργεῖοι,
Ἀζανοί, Λούχαλοι, [καὶ][1] ὅσα ἐπὶ τῆς ἀνατολῆς κεῖνται ἔθνη ἀναρίθμητα
σὺν στρατοπέδοις πολλοῖς εἰς τὴν Αἴγυπτον ἐληλύθασιν[2]. ὑπεισελθέτω σοι
[illegible] τὸ Ὁμηρικὸν διστίχιον· Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, ᾧ
λαοὶ ἐπιτετράφαται καὶ τόσσα μέμηλεν[3]".

γ'. Ταῦτα δὲ εἰπόντος τοῦ στρατάρχου ἐπὶ πολὺ γελάσας Νεκτανεβὼς εἶπε·
"Σὺ μὲν καλῶς[4] καὶ[5] ὡς πρέπει[6] τὴν πεπιστευμένην φρουρὰν φυλάττεις.
δειλῶς δὲ καὶ οὐ στρατιωτικῶς ἐφθέγξω. οὐ γὰρ ἐν ὄχλῳ ἡ δύναμις, ἀλλ'
ἐν τῇ προθυμίᾳ [καὶ] προτροπῇ ἐστιν. εἷς γὰρ λέων πολλὰς ἐλάφους συνέλαβε,
καὶ εἷς λύκος πολλὰς ἀγέλας ποιμνίων ἀπήλασεν. ὥστε οὖν πορευθεὶς
ἅμα τοῖς ὁμοταγέσι στρατιώταις τοῖς ὑπὸ σοὶ εἰς τὴν παραδεδομένην
φυλακήν σου φύλαττε. λόγῳ γὰρ ἑνὶ τὸ τῶν ἀναριθμήτων βαρβάρων πλῆθος
πελαγίοις κύμασι καταποντίσω".

δ'. Ταῦτα εἰπὼν ἀπέπεμψε τὸν στρατάρχην. αὐτὸς δ' ἀναστὰς εἰσῆλθεν εἰς 3.
τὰ βασίλεια καὶ κελεύσας ἔνδοθεν πάντας ἐξιέναι καὶ μονάσας τὴν λεκάνην
εἰς μέσον ἐνεγκὼν ἔθηκε καὶ πάλιν ὡσαύτως ἐχρήσατο. ἀτενίσας εἰς τὴν
λεκάνην εἶδε τοὺς τῶν Αἰγυπτίων θεοὺς διακυβερνῶντας τὰ πλοῖα τὰ τῶν
ἐπερχομένων πολεμίων βαρβάρων ὁ ἀνὴρ ὁ εἰθισμένος τῇ τῆς μαγείας
τέχνῃ σὺν τοῖς θεοῖς εἶναι καὶ λέγειν. Μαθὼν δὲ ἐπὶ τὸ τέλος ἐληλυθέναι
τὴν τῶν Αἰγυπτίων βασιλείαν, ἐγκολπωσάμενος χρυσὸν καὶ ἄργυρον
πολὺν καὶ ξυρησάμενος τὰς κόμας καὶ τὸν πώγωνα καὶ ἀλλομορφήσας
ἑαυτὸν ἀόρατος πᾶσιν ἔφυγε διὰ τοῦ Πηλουσίου. καὶ διὰ πολλῶν τόπων [illegible],
πλανηθεὶς παρεγένετο εἰς Πέλλην τῆς Μακεδονίας. καὶ ὀθόνας ἀμφιεσάμενος
ἐκαθέζετο ἐκεῖ ἀστρολογούμενος ὡς προφήτης Αἰγύπτιος. ἦν γὰρ τοιαῦτα
ἐπιστάμενος.

ε'. Τούτου δὲ ἐν τῇ πόλει οὐχ εὑρισκομένου οἱ Αἰγύπτιοι ἠξίωσαν τὸν θεὸν
καὶ ἠρώτησαν αὐτόν, τί ἄρα γέγονε τῷ βασιλεῖ. Ὁ δὲ ἐν τῷ ἀδύτῳ τοῦ
= L. [illegible] A, Σινωπείου[7] θεὸς ἐχρησμοδότησε λέγων τοιάδε· "Οὗτος ὁ φυγὼν βασιλεὺς
in B: Σεραπείου. ὑμῶν πάλιν ἥξει εἰς Αἴγυπτον οὐ γεγηρακώς, ἀλλὰ νεάζων. οὗτος τοὺς
ἐχθροὺς ὑμῶν Πέρσας ὑποτάξει". Καὶ οὕτω δοθέντος τοῦ χρησμοῦ ὑπὸ
τῶν θεῶν αὐτῶν συνεζήτουν, τί ἄρα θέλει εἶναι τὸ εἰρημένον. Καὶ γράφουσι
ταῦτα ἐπὶ τὴν βάσιν τὴν ὑπὸ τοῖς ποσὶ τοῦ ἀνδριάντος Νεκτανεβῶ.

ϛ'. Εἰς δὲ τὴν Μακεδονίαν πᾶσιν ἐμφανὴς ἐγένετο τὰ φυσικὰ σκεπτόμενος 4.
Νεκτανεβώς, ὥστε καὶ τὴν βασίλισσαν Ὀλυμπιάδα √ ἐλθεῖν πρὸς αὐτὸν καὶ
λόγον τινὰ ἐρωτῆσαι αὐτόν. Ἔτυχε γὰρ ἐν χρόνῳ, ἐν ᾧ ἀπεδεδημήκει
εἰς πολέμους ὁ Φίλιππος, | καὶ ἐκέλευσεν εἰσάγεσθαι πρὸς αὐτὴν τὸν ἄνδρα,
ὡς ἐρωτήσουσα τὰ ἑαυτῆς. Ὁ δ' εἰσελθὼν καὶ θεασάμενος τὴν Ὀλυμπιάδα √
τῇ ἑαυτοῦ ἐρωτικῇ προθυμίᾳ[8] εἰς τὴν βασίλισσαν ἐπάγη ἄνευ πλησμονῆς.[9]
= A, om. BC ἦν γὰρ καταφερὴς εἰς τὰς γυναῖκας. Καὶ προτείνας τὴν χεῖρα ἔφη·
"Χαίροις[10], βασίλισσα Μακεδόνων." Οὐ κατηξίωσεν εἰπεῖν δέσποιναν, ὃς

---

[1] Nach A B. [2] l. են st. էին. [3] w: τόσσαι φροντίδες. [4] Æ: σὺ εἶπας.
[5] l. և st. է. [6] l. վայել է st. էր. [7] C: Σεραπείου. Und so hat auch Æ in
ϙϛ'. Σαραπεῖον. [8] Das folgende τῆς προθέσεως dient wohl nur zur Verstärkung
von προθυμία. [9] 'Ohne sich [im Anschauen] zu erschöpfen'. [10] Durch drei
Worte wiedergegeben.

γ' [illegible] [illegible] [illegible] B, A [illegible].

πολλὰ δὲ πολεμαστεύσας ἔθνη A

τοὺς ὡσανεὶ θεούς B – τὸν προπάτορα τῶν θεῶν Ἥφαιστον A, Syr., hist.
ὁ βασιλεύς [illegible].

[illegible] [illegible] B.

ν νυκτὸς [illegible] B – A [illegible]: ἦττον κ.τ.λ. Ὀ. θελῆσαι σκέψασθαι ὑπ' αὐτοῦ. καὶ μετεκαλέσατο
αὐτόν – [illegible] Syr.
καὶ μαθοῦσα παρ' αὐτοῦ ὅπερ ἐζήτει, ἀνεχώρησε. καὶ μεθ' ἡμέρας ὀλίγας μετεστείλατο αὐτόν
ν πάνυ ὡραίαν οὖσαν BC – ἰδὼν αὐτὴν τὴν εὐμορφίαν τῆς σελήνης διαφορωτέραν A, Syr.,

[illegible] in BC – = A, Syr., hist.

τὸν βασιλικὸν ἔχων λογισμόν A.

vgl. B: σὺ εἶ ὁ Αἰγύπτιος μαθηματικός, εἰς ὃν οἱ δοκιμάσαντες εὗρον πᾶσαν τὴν ἀλήθειαν· κἀγὼ δὲ ἐπείσθην παρὰ σοῦ. – A: σὺ τυγχάνεις Αἰγύπτιος ἀληθινός; N. δὲ εἶπεν „ὡς οἱ δοκιμάσαντες λέγουσιν." = Syr. p. 88 (R)

die Reihenfolge anders als im Gr. u. Syr. – Stimmt sonst zu B, wo nur Ἄρης ausgefallen ist.

× Im Arm. bessere Überlieferung. Gr.: „Ποταπὸς ἄρα ἐστιν ὁ θεὸς οὗτος;" ὁ δὲ εἶπεν· „τὴν μὲν ἡλικίαν μεσῆλιξ καὶ χρυσόκομος τὴν χαίτην καὶ τὰ γένεια, κέρατα ἔχων ἐκ τοῦ μετώπου πεφυκότα καὶ ταῦτα χρυσῷ παραπλήσια· ἑτοιμασθῆναι οὖν σε δεῖ κτλ. (c. 4) – Auch Syr. stimmt nicht ganz zu Arm., wenn auch die Frage der O.: Und in welchem Alter steht dieser Gott? und welcher Art ist seine Erscheinung und sein Aussehen? mit Arm. (p. 89 R; 6 B) Vgl. auch Lat.

πρότερον δεσπότης ἦν.[1] Ἡ δὲ Ὀλυμπιὰς εἶπε· "Χαίροις καὶ σύ, ἀγαθέ, καὶ καθέζου[2]".

Ἐπεὶ δ' οὗτος ἐκάθισεν, εἶπεν αὐτῷ· "Σὺ τυγχάνεις μαθηματικὸς ἀστρολόγος Νεκτανεβὼς ἔνδοξος ἐν πάσῃ τῇ πόλει; ἴσως οἱ δοκιμάσαντές σε ἔμαθον παρὰ σοῦ πᾶσαν τὴν ἀλήθειαν. ποίᾳ σκέψει χρώμενος τὰ ἀληθῆ ἀπαγγέλλεις;" Ὁ δὲ λέγει· "Πολυειδής ἐστιν, ὦ βασίλισσα, τῆς σκέψεως ἡ αἵρεσις. εἰσὶ γὰρ ὀνειροπόλοι, σημειολύται, ὀνειροκρίται[3], ἀμμωνομάντεις καὶ λεκανομάντεις, γενεθλιαλόγοι, μοιρολέκται, τυχολόγοι καὶ οἱ καλούμενοι μάγοι, οἷς πάντα τὰ μαντεῖα ὑπόκειται". Καὶ ταῦτα λέγων ἐνέβλεψε δριμὺ τῇ Ὀλυμπιάδι ἐπιθυμίαις ἐρωτικαῖς πληγείς. Εἶπεν ἡ βασίλισσα Ὀλυμπιάς· "Τί πέπηγας ἰδών με;" Ὁ δὲ ἀποκριθεὶς ἔφη· "Βασίλισσα κυρία, ὑπεμνήσθην χρησμοῦ ὑπὸ τῶν ἰδίων[4] θεῶν ποτε γενομένου, ὅτι δεῖ με σὺν βασιλίδι σκέψασθαι. καὶ τοῦτο ἀληθές ἐστιν, ὥσπερ ἔγνωκα δι' ἀποκρίσεων. ὥστε λοιπὸν λέγε, ὃ βούλει." ζ'. = B

πολυσχιδής gr.

om. B.

Καὶ ἐξαγαγὼν ἔσωθεν τὴν χεῖρα προσήνεγκε πίνακα, ὃν ὁ λόγος[5] ἑρμηνεῦσαι οὐ δύναται. ἐκ χρυσοῦ γὰρ καὶ ἐλέφαντος ἦν κατεσκευασμένος καὶ [εἶχεν] ἑπτὰ ἀστέρας καὶ ὡροσκόπον. ὁ δὲ Ζεὺς ἀέρινος [ἦν] καὶ ὁ ἥλιος κρυστάλλινος καὶ ἡ σελήνη ἀδαμαντίνη[6] καὶ ὁ Ἄρης αἱματίτης καὶ ὁ Ἑρμῆς σμαράγδινος καὶ ἡ Ἀφροδίτη σαπφειρίνη καὶ ὁ Κρόνος ὀφίτης, ὁ δὲ ὡροσκόπος λύγδινος. η'. = B

τὸν ἥλιον καὶ σελήνην om. BC, [illegible] A. add. E

Θαυμάσασα δὲ ἡ Ὀλυμπιὰς τὴν πολυτέλειαν καὶ τῶν ἀστέρων τὴν θαυμαστὴν θέαν, παρεκάθητο αὐτῷ καὶ ἐκέλευσε πάντας ἐξιέναι. Λέγει αὐτῷ· "Σκέψαι τὴν ἐμοῦ καὶ Φιλίππου γένεσιν. φημίζεται γὰρ ὅτι, ὅταν παραγίνηται ἀπὸ τοῦ πολέμου, βούλεται ἐμὲ ἀποβάλλειν καὶ ἑτέραν[7] γαμεῖν." Ὁ δὲ λέγει· "Θὲς τὸ τῆς σῆς γενέσεως γράμμα[8] καὶ τὸ τοῦ Φιλίππου." Ἡ δὲ λέγει· "Τί ποιεῖς τοῦτο;[9]" Νεκτανεβὼς τίθησι καὶ τὸ τῆς ἑαυτοῦ γενέσεως γράμμα πρὸς τὸ Ὀλυμπιάδος καὶ σκεψάμενος εἶπεν· "Οὐκ ἔστι ψευδὴς ἡ φήμη, ἣν ἤκουσας. ἦ μὴν τοῦτο ἀληθῶς εἵμαρταί σοι. δύναμαι δέ σοι, ὡς προφήτης Αἰγύπτιος, βοηθῆσαι τοῦ μὴ[10] ἀπόβλητόν σε γενέσθαι ὑπ' αὐτοῦ. καὶ ἐὰν γένῃ, εὑρήσεις τὸν ἐκδικήσοντά σε." Ἡ δὲ Ὀλυμπιὰς λέγει· "Πῶς ἔστι τοῦτο;" Ὁ δὲ λέγει· "Εἵμαρταί σοι, καθ' ὃ ἔθηκάς μοι[11], ἐπιγείῳ θεῷ συνελθεῖν καὶ ἐκ τούτου συλλαβεῖν καὶ συλλαβοῦσαν τεκεῖν υἱὸν καὶ ἀναθρέψαι, τοῦτον δὲ ἔκδικον ἔχειν σε τῶν ὑπὸ τοῦ Φιλίππου συμβησομένων σοι ἁμαρτημάτων." Λέγει ἡ Ὀλυμπιάς· "Τίνι θεῷ;" Ὁ δὲ λέγει· "Τῷ τῆς Λιβύης Ἄμμωνι". Ἡ Ὀλυμπιὰς λέγει· × "Ποῖός ἐστι τὴν ἡλικίαν, νέος ἢ μεσῆλιξ; καὶ τὴν μορφὴν ποῖός ἐστιν;" Ὁ δὲ λέγει· "Πολιὸς τὴν χαίτην καὶ κέρατα κριοῦ ἐπὶ τῶν κροτάφων ἔχων. διὸ ἑτοίμασον σεαυτὴν ὡς βασίλισσα καὶ γυνή, περὶ τούτου γὰρ θεωρήσεις ὄνειρον καὶ τὸν θεόν σοι συγγιγνόμενον". Καὶ ἡ Ὀλυμπιὰς λέγει· "Ἐὰν ἴδω τὸν ὄνειρον, οὐχ ὡς ἄνθρωπον[12], ἀλλὰ ὡς θεὸν προσκυνήσω σε". θ'.

= B, Arm. Syr. ψευδής [illegible] hat. [illegible] u. Jul. Val.

μάγον Gr. Prophet [illegible] prophete hat.

---

[1] Lat.: qui se quondam dominum fuisse meminisset. [2] Auch διαβὰς καθέζου. [3] A: ὀρνεοσκόποι. [4] w: ἐμῶν. Doch wird ἴδιος öfter von Æ durch ein bestimmteres Pron. ersetzt. [5] Das mechanisch hinzugefügte **և փորձ** καὶ ἡ πεῖρα ist m. E. zu tilgen. [6] l. **ադամանդեայ**. [7] oder ἄλλην. [8] oder τὸν χαρακτῆρα. [9] M: Καὶ τί λοιπὸν ποιεῖ ὁ Νεκτανεβώς; τίθησι ... [10] w: ἵνα μὴ ἀποβληθῇς. [11] sc. τὴν γένεσιν. [12] Da ἄνθρωπος sonst nicht überliefert ist, so wird **մարգարէի** [προφήτου] st. **մարդոյ** zu lesen sein.

m.

5. ι′. Ἐξέρχεται Νεκτανεβὼς ἐκ τῶν βασιλείων καὶ λαμβάνει βοτάνην συνηγμένην, ἣν ἠπίστατο πρὸς ὀνειροπολίαν ἁρμόζουσαν, ἀπὸ τῆς ἐρήμου συλλέξας. Καὶ ταύτην εὖ ἑψήσας πλάσσει θῆλυ σῶμα κήρινον καὶ ἐπιγράφει τῇ εἰκόνι τὸ ὄνομα τῆς Ὀλυμπιάδος. καὶ ποιήσας λεκτίδιον[1] κήρινον ἐτίθει ἐπ᾽ αὐτοῦ τὸ πλάσμα τῆς Ὀλυμπιάδος. καὶ ἅψας λύχνον καὶ ἐπιβαλὼν τὸ τῆς βοτάνης ἕψημα ἔλεγεν ἐπ᾽ αὐτοῦ ὅρκους πρὸς τοῦτο ἐπιτηδείους[2] πεποιημένους, ὥστε φαντασιοῦσθαι[3] τὴν Ὀλυμπιάδα. ἐθεώρησε γὰρ περιπεπλεγμένον αὐτῇ κατ᾽ ὄναρ[4] τὸν Ἄμμωνα. Καὶ ἀναστὰς λέγει· "Γύναι, κατὰ γαστρὸς ἔχεις παρ᾽ ἐμοῦ ἄρρενα τὸν ἔκδικόν σοι γιγνόμενον".

6. ια′. Ἀναστᾶσα δὲ ἐκ τοῦ ὕπνου ἡ Ὀλυμπιὰς καὶ θαυμάσασα [πρὸς] τὸν μαθηματικὸν προφήτην εἶπεν· "Εἶδον τὸν ὄνειρον καὶ ὃν εἶπές μοι θεόν. βούλομαι οὖν μιγῆναι αὐτῷ. νῦν σοι μελησάτω. ὅτε μέλλει συνελθεῖν μοι, ἀγγέλλεις μοι, ἵνα κἀγὼ ἑτοιμοτέρα εὑρεθῶ τῷ νυμφίῳ". Ὁ δὲ λέγει· "Πρῶτον μέν, βασίλισσα, ὃ εἶδες, ὄνειρος ἦν. ἐκεῖνος δὲ ὁ αὐτός, ὃν ἐν ὀνείρῳ εἶδες[5], θεὸς εἰσέρχεται πρὸς σέ. χώρημα δός μοι κοιμηθῆναι παρὰ σοὶ ἐν κοιτῶνι, μή τι φοβηθῇς, ὅταν ἐπέλθῃ σοι ὁ θεός."

ιβ′. Καὶ εἶπε· "Καλῶς εἶπες, ὦ προφῆτα, δέξαι[6] πλησίον τοῦ ἐμοῦ κοιτῶνος. καὶ ἐὰν ἐπιτύχω τῆς συνουσίας καὶ συλλάβω, μεγαλοπρεπῶς τιμήσω σε ὡς ἀψευδῆ προοπτὴν καὶ δέξομαί σε ὡς ἂν πατέρα τοῦ παιδίου τυγχάνοντα". Λέγει Νεκτανεβώς· "Πρόδρομος τοῦ πρὸς σὲ ἔρχεσθαι τὸν θεὸν τοῦτό ἐστιν, ὅτι, ἐὰν καθίσῃς ἐν τῷ κοιτῶνί σου, ὄψει δράκοντα ἑρπύζοντα πρὸς σέ. κέλευσον[7] τοὺς παρόντας ἐξελθεῖν. σὺ δὲ μὴ ἀποσβέσῃς τὸ φῶς τῶν λύχνων, ἀλλὰ ἀνάστηθι καὶ καθέζου εἰς τὴν κλίνην σου καὶ συγκάλυψον τὸ πρόσωπον. πάλιν ὁρᾷς τὸν θεόν, ὃν εἶδες ἐν ὀνείρῳ εἰσελθόντα πρὸς σέ". Ταῦτα λέγων ἐξῆλθεν.

√×

ιγ′. Καὶ τῇ ἐπαύριον ἔδωκεν αὐτῷ πλησίον τοῦ κοιτῶνος αὐτῆς ἕτερον κοιτῶνα. || Ὁ δὲ ἡτοίμασε πόκον κριοῦ ἁπαλώτατον σὺν τοῖς κέρασι τῶν κροτάφων √ καὶ σκῆπτρον Γ καὶ ἱμάτιον λευκόν. καὶ λαβὼν δράκοντα ἐποίησεν αὐτὸν ἀσθενῆ καὶ ἔκλυτον καὶ ἐκ τῶν χειρῶν αὐτοῦ ἕρπειν καὶ ἐξαίφνης ἐξαίρεσθαι τὸν δράκοντα. ὁ δὲ εἰσῆλθεν εἰς τὸν κοιτῶνα Ὀλυμπιάδος. Ἡ δὲ ἰδοῦσα οὐκ ἐφοβήθη ὑπ᾽ αὐτοῦ — τοῦτον γὰρ προσεδόκα — καὶ ἐκέλευσε τοὺς παρόντας ἐξέρχεσθαι ἕκαστον εἰς τὸν ἴδιον τόπον. Καὶ ἀνεκλίθη εἰς τὴν κλίνην[8]. καὶ καλύψασα τὸ πρόσωπον μόνον ἄκρῳ τῷ ὀφθαλμῷ εἶδεν αὐτὸν εἰσερχόμενον, οἷον εἶδεν ἐν ὀνείρῳ. Ὁ δὲ ἀποθέμενος τὸ σκῆπτρον φοινίκινον ἀνέβη ἐπὶ τὴν κλίνην καὶ ἀνέστρεψε τὴν Ὀλυμπιάδα πρὸς ἑαυτὸν καὶ συνεγένετο αὐτῇ. Ἔπειτα θεὶς ἐπὶ τῆς πλευρᾶς αὐτῆς τὴν δεξιὰν εἶπε· "Σπέρμα ἀνίκητον καὶ ἀνυπότακτον." × διάμεινον οὖν, γύναι, ἀεὶ [ἀτάρακτος], κατὰ γαστρὸς γὰρ ἔχεις ἄρρενα παῖδα ἔκδικόν σου γινόμενον καὶ πάσης τῆς οἰκουμένης κοσμοκράτορα, βασίλισσα[9]". Καὶ ταῦτα || 7. ×

Γεράνινον add. BC

=]

√

om. BC

!

---

[1] Verm. ist zu lesen *մահճիճս* st. *մարկճակ* und *՚ի վերայ նորա սանդճուածն*. Lat.: lectulum ei fabricatur, cui illa effigies supraponitur. [2] Viell. indiciert *՚ի դէպ* ursprüngliches *դևս* [M: δαίμονας]. [3] w: so dass der Olympias Geister erschienen. [4] l. *՚ի ննջման* st. *՚ի չնամաց* [ἐκ σημείων] Lat.: per somnium. [5] l. *զոր տեսեր* st. *որ տեսիլ* und tilge *էր*. [6] w: δὸς σεαυτῷ. [7] w: κελεύεις. ἐξίασιν. [8] Nur Lat.: deditque sese lectulo. [9] Viell. verlesen für βασιλέα.

---

cap. 5 zu B!

cap. 6 [illegible] [illegible] in den [illegible] [illegible] zu B!

= B!

√ καὶ ταῦτα χρυσῷ παραπλήσια add. B.

× [illegible] [illegible] [illegible] [illegible] λευκόν [illegible]: καὶ τρίβωνα καθαρώτατον δρακοντιοῦντα (κατέχων τῇ χειρὶ αὐτοῦ δρακοντιοῦντας C) καὶ εἰσέρχεται εἰς τὸν κοιτῶνα, ἔνθα ἦν ἐπὶ κλίνης ἡ Ὀλυμπιὰς κατεσκεπασμένη, ἄκρῳ δὲ τῷ ὀφθαλμῷ ἔβλεπε· καὶ ὁρᾷ αὐτὸν εἰσερχόμενον καὶ οὐκ ἐδειλίασεν· αὐτὸν γὰρ προσεδόκα (εἶναι τὸν θεόν add. C) καθὼς καὶ ἐν ὀνείρῳ εἶδεν. Οἱ δὲ λύχνοι ἦσαν φέγγοντες καὶ συνεκάλυψεν ἡ Ὀλ. τὸ πρόσωπον ἑαυτῆς. Ὁ δὲ Ν. ἀποθέμενος κτλ.

× die Worte fehlen in B gänzl., in A: τύψας αὐτῆς τὴν γαστέρα, Syr.: he set his mouth upon her mouth.

|| fehlt in B; [illegible] in A im pl.; der Absatz = B.

B: χαίροις, βασίλισσα, τί μοι ἀναγγέλλεις;" ἡ δὲ εἶπε· "πῶς σε λανθάνει ταῦτα, προφῆτα, ἐγὼ θαυμάζω. ἆρα παραγίνεται ὁ θεὸς αὖθις πρός με ἔτι; ἡδέως αὐτὸν ἔσχον." ὁ δὲ εἶπε πρὸς αὐτήν· "ἄκουσον, βασίλισσα, ἐγὼ προφήτης κτλ.

κB: ἔχε τὸν τόπον τοῦτον ἀπάρτι." καὶ ἐκέλευσε δοθῆναι αὐτῷ τὰς κλεῖς τοῦ κοιτῶνος. ὁ δὲ ἐν ἀποκρύφῳ τόπῳ ἀπέθετο ἃ εἶχε καὶ εἰσήρχετο πρὸς αὐτὴν ὁσάκις ἂν ἠβούλετο ἡ Ὀλ. δὲ ὑπονοουμένη ὡς παρ' αὐτῇ θεὸς ἦν ὁ Ἄμμων.

√x

σταλεὶς ὑπὸ Ν. add. B.
ἀετὸς B ὡς ἦλθεν διὰ νυκτός.

=

κB: καὶ ἔχοντα κέρατα καὶ αὐτὰ πρὸς τοὺς κροτάφους αὐτοῦ χρυσῷ παραπλήσια καὶ ἐν τῇ χειρὶ αὐτοῦ σκῆπτρον κατέχοντα, νυκτὸς ὑπεισερχόμενον κτλ.

√

λέγων λαβὼν τὸ σκῆπτρον αὐτοῦ ἐξῆλθεν ἐκ τοῦ κοιτῶνος καὶ ἀπέκρυψεν ἃ εἶχεν. πλάνικα add. Ar.

Πρωΐας δὲ γενομένης ἠγέρθη ἡ Ὀλυμπιὰς καὶ ἦλθεν εἰς τὸν κοιτῶνα ιδ'. = B!
τοῦ Νεκτανεβῶ. Καὶ διυπνισθεὶς εἶπε· "Κυρία, τί; ἀνάγγελλέ μοι. γέγονε, ὃ εἶδες;" Ὀλυμπιὰς λέγει· "Γέγονεν, ὃ εἶπες". Ὁ δὲ λέγει· "Κεχάρηκα σὺν σοί, κυρία". Καὶ Ὀλυμπιὰς λέγει· "Ἆρα οὐκ ἔτι παραγίνεται; προσέχω γὰρ ὡς γυνὴ τῇ ἀφίξει καὶ συνουσίᾳ αὐτοῦ τῇ πρὸς ἐμέ, ὅτι ἡδεῖ πόθῳ παρείληφα αὐτόν, ὦ προφῆτα. ἀλλ' ὅτι σε ἔλαθε τοῦτο καὶ ἠγνόησας, θαυμάζω". Ὁ δὲ ἐχάρη, ὅτι ἐφιλήθη ὑπὸ τῆς βασιλίσσης, καὶ εἶπεν· "Ἄκουσον, Ὀλυμπιάς. ἐγὼ προφήτης εἰμὶ τοῦ θεοῦ τούτου. ἐὰν βούλῃ, δός μοι τὸν τόπον τοῦτον εἰς τὸ κοιμᾶσθαι ἐκεῖ ἀπαρενόχλητον[1]. τὸν γὰρ συνήθη καθαρμὸν ποιήσω αὐτῷ, καὶ ἐλεύσεται πρὸς σέ". Καὶ Ὀλυμπιὰς λέγει· "Ἡ θέλησίς σου γενήσεται ἀπάρτι". Καὶ λέγει τοῖς θυρωροῖς αὐτῆς· "Δότε τούτῳ τὴν κλεῖν τοῦ κοιτῶνος". Ὁ δὲ λαβὼν ἀπέκρυψεν. καὶ ἀληθῶς εἰσήρχετο, ὁσάκις ἂν ἠβούλετο Ὀλυμπιὰς εἰσέρχεσθαι αὐτὸν πρὸς αὐτήν. προαπήγγειλε[2] διὰ τοῦ προφήτου[3]. καὶ ἐκεῖνος κατὰ τὸ εἰωθὸς συνῆλθεν Ὀλυμπιάδι πίστιν ποιῶν Ἄμμωνα εἶναι.

Ὠγκοῦτο δὲ ἡ γαστὴρ αὐτῆς, καὶ εἶπεν· "Ὦ προφῆτα, τί ποιήσω, ἐὰν ιε'. = B'
παραγενόμενος εὕρῃ με Φίλιππος ἔγκυον;" Ὁ δὲ λέγει· "Μὴ φοβηθῇς, κυρία. ἐν τούτῳ γὰρ βοηθεῖ σοι ὁ θεὸς Ἄμμων, καὶ ἐπιστὰς αὐτῷ ἐν ὀνείρῳ μηνύει τὸ γενησόμενον[4], [ὥστε] ἀνενόχλητον[5] καὶ ἀκόλαστον εἶναί σε ἀπ' αὐτοῦ". Οὕτως οὖν Ὀλυμπιὰς ἐπλανᾶτο διὰ τῆς μαγικῆς τέχνης τὴν ἀλήθειαν[6] αὐτῆς ἐπιδεικνῦσα. στεῖρος εἶ add. A.

8. Καὶ λαβὼν θαλάσσιον ἱέρακα, τοῦτον ἐμάγευσεν ὁ Νεκτανεβώς. καὶ ις'.
ὅσα ἠβούλετο ἐν ὀνείροις ἰδεῖν τὸν Φίλιππον[7] ἱέρακι μαγείᾳ χρώμενος ἔλεγε καὶ παρεσκεύασεν ἵπτασθαι τὸν ἱέρακα. Ὁ δὲ διὰ τῆς γῆς καὶ διὰ τῆς θαλάσσης ἱπτάμενος δύο ἡμέρας καὶ δύο νύκτας ἦλθεν, ἔνθα ἦν Φίλιππος, καὶ [ἐλάλησεν αὐτῷ, καθὼς ἔμαθε παρὰ Νεκτανεβῶ ἐν][8] ὀνείρῳ. Φίλιπ[πος θεωρήσας τὸν ἱέρακα διυπνίσθη τεταραγμένος][8]. Καὶ μετακαλεσάμενος ὀνειροπόλον Βαβυλώνιον[9] λέγει αὐτῷ· "Εἶδον κατ' ὄναρ θεόν τινα εὔμορφον πολιὸν τὴν χαίτην καὶ τὸ γένειον [καὶ] κρέατα κριοῦ ἔχοντα πρὸς τοῖς κροτάφοις. καὶ νυκτὸς εἰσελθὼν πρὸς τὴν γυναῖκά μου Ὀλυμπιάδα καὶ ἀνακλιθεὶς συγγίγνεται αὐτῇ καὶ ἀναστὰς λέγει αὐτῇ· συνέλαβες ἐξ ἐμοῦ ἄῤῥενα παῖδα, ὃς ἔγκαρπον ποιήσει σε[10] καὶ τὸν θάνατον τοῦ πατρὸς ἐκδικήσει. ἔδοξα δὲ ἐγὼ καταῤῥάπτειν τὴν φύσιν τῆς γυναικός μου βίβλῳ [καὶ] σφραγίσαι τῷ ἐμῷ σφραγιστῆρι. ἦν δὲ ὁ δακτύλιος χρυσοῦς καὶ τὸ ἐκτύπωμα ἡλίου [ἔχων] καὶ κεφαλὴν λέοντος καὶ δόρυ. καὶ ταῦτα ποιήσας ὑπενόουν ἱέρακα ἐλθόντα πρὸς ἐμὲ ταῖς ἑαυτοῦ πτέρυξιν ἐξεγείρειν[11] με τοῦ ὕπνου, ἀγγέλλειν δὲ οὐδέν". Ἐρωτῶ οὖν καὶ ζητῶ μαθεῖν τὴν τοῦ ὀνείρου ἐπίλυσιν add. B.

ὥς in Arm.
= C, ἀμ. αὐτῷ.
= C, βόειον πάνυ
ἐγκαρπώσεται B

οἱ B
Λέγει αὐτῷ ὁ ὀνειροπόλος· "Ἀληθής ἐστιν ὁ ὄνειρος, ὃν εἶδες. τὸ γὰρ ιζ'.
σφραγίζειν σε τὴν φύσιν τῆς γυναικός σου [δηλοῖ, ὅτι] πίστεως γέμουσιν

---

[1] w: μή τις συγχέῃ θλίβων. [2] sc. τῷ θεῷ. [3] Vgl. Lat.: dicito mihi, atque ego procurabo, quo ad te saepius veniat. [4] l. է st. էր. [5] M: ἀνέγκλητον. [6] oder πίστιν. Ursprünglich wohl anders. [7] l. տեսանել st. —էր. [8] Das Eingeklammerte ist von den Hrsgg. aus dem Griechischen [C] ergänzt. [9] Von Æ als Eigenname gefasst [Vgl. C]. [10] Durch dessen Geburt du dich als ἔγκαρπος erweisen wirst. [11] l. Inf. st. Ipf.

I, 8.9.10.

M.

οἱ χρησμοί. σφραγὶς γὰρ πίστις ἐστίν, δηλοῦσα ὅτι καὶ συνέλαβεν ἡ γυνή. οὐδεὶς γὰρ κενὸν ἀγγεῖον σφραγίζει, ἀλλὰ μεστόν. τὸ δὲ [καταῤῥάπτειν σε] βίβλῳ [δηλοῖ] Αἰγύπτιον εἶναι [τὸν σπείραντα]. οὐδαμοῦ γὰρ εὑρίσκεται βίβλος, εἰ μὴ ἐν Αἰγύπτῳ.[1] καὶ ἡ σπορὰ οὐκ ἔστι ταπεινή, ἀλλὰ λαμπρὰ καὶ ἔνδοξος καὶ ἅμα ἔντιμος[2] διὰ τὸν χρυσόν. τί γὰρ χρυσοῦ ἐνδοξότερον, δι' οὗ οἱ θεοὶ προσκυνοῦνται;* Καὶ ὅτι ἡ σφραγὶς ἦν ἥλιος καὶ ἔχουσα κεφαλὴν λέοντος καὶ δόρυ, οὗτος ὁ γεννώμενος μέχρι τῆς ἀνατολῆς ἐλεύσεται, πάντα ἑκουσίως καὶ κατὰ τὴν ἑαυτοῦ θέλησιν ποιῶν. καὶ δορυαλώτους τὰς χώρας καὶ τὰς πόλεις ποιήσει διὰ τὸν√ δόρυ, ὃ ἦν ἐν τῷ ὀνείρῳ. Τὸ δὲ ἑωρακέναι σε θεὸν κριοκέρατον πολιόν, ὁ τῆς Λιβύης θεός ἐστιν Ἄμμων".

om. B
om. B
νῦν ὑποκείμενον ἀλλ. B
om. B

ιη'. Οὕτω κρίναντος τοῦ ὀνειροπόλου οὐχ ἡδέως ἤκουσεν ὁ βασιλεὺς τὸ συνειληφέναι τὴν γυναῖκα αὐτοῦ, καίπερ ἐκ θεοῦ[3] εἰδώς. Καὶ νικήσας× τὸν πόλεμον εὐθέως ἔσπευδεν εἰς τὴν Μακεδονίαν εἰσέρχεσθαι. Ἐφοβήθη δὲ ἡ Ὀλυμπιάς, καὶ παρεμυθεῖτο αὐτὴν ὁ Νεκτανεβώς.

om. B

ιθ'. Ἐλθόντος δὲ τοῦ Φιλίππου καὶ εἰσιόντος πρὸς τὴν βασίλισσαν ἦλθε[4] πρὸς αὐτὸν ἡ Ὀλυμπιάς, ἀλλ' οὐ θαῤῥοῦσα ἐπὶ τοῖς γεγενημένοις. Ἰδὼν δὲ ὁ Φίλιππος αὐτὴν τεταραγμένην εἶπεν· "Ὦ γύναι, τούτων οὐκ εἶ σὺ αἰτία, ἄλλων γὰρ ἐγένετο τὸ ἁμάρτημα. καὶ ἐμοὶ ἐν ὁράματι ἠγγέλθη τὸ γεγονός, ἵνα σὺ ἀναίτιος καὶ ἀνενόχλητος ᾖς. Πάντα γὰρ δυνάμεθα οἱ βασιλεῖς, πρὸς δὲ τοὺς θεοὺς οὐδὲν δυνάμεθα. οὐ γὰρ τοῦ δήμου (ἀγοραίου) ἀνδρί τινι ἐκολλήθης, οὐδὲ εὐπρεπὴς τῇ σῇ μορφῇ τις ἠράσθη ἀξίως, ἀλλὰ θεοί, οἳ πάντα δύνανται". Οὕτω λέγων εὔθυμον ἀπέστειλε τὴν Ὀλυμπιάδα. Ἡ δὲ ηὐχαρίστει τῷ προμηνύοντι προφήτῃ. Καὶ ἦν μετὰ ταῦτα σὺν Ὀλυμπιάδι ὁ Φίλιππος.

= B
9.

~~nur Arm.~~
= κρύφα bei A.
om. gr.
√x

κ'. Ὁ δὲ Νεκτανεβὼς διῆγεν ἐν τοῖς βασιλείοις καὶ οὐδενὶ ἐφάνη. οὐ γὰρ ἠβούλετο. Ἤκουσε δὲ Φιλίππου λέγοντος· "Οὐχ ὑπὸ θεοῦ[5] συνέλαβες, ἀλλὰ ἑτέρῳ τινὶ ἐκολλήθης ἀληθῶς. ὃς ἐὰν ἐμπέσῃ εἰς τὰς χεῖράς μου, ἀνηλεεῖ κολάσει ἀρῶ αὐτὸν ἐκ τοῦ βίου". Ἤκουσε ταῦτα ὁ Νεκτανεβὼς ἃ εἶπεν[6].

10.

= B
=
√

κα'. Ὡς δὲ εὐωχοῦντο διὰ τὴν τοῦ βασιλέως ἐπιδημίαν, μόνος ὁ βασιλεὺς κατηφὴς ἦν διὰ τὸ ἔγκυον εἶναι τὴν γυναῖκα. καὶ ὡς ἐν ἡδονῇ ἦσαν οἱ πολλοί[7], ὁ Νεκτανεβὼς ἀλλάσσει ἑαυτὸν μεταβαλὼν εἰς μορφὴν δράκοντος πολὺ μείζονος τοῦ πρώτου. ἦλθε διὰ μέσου τοῦ τρικλίνου καὶ ἐσύρισε φοβερόν, ὥστε τὰ θεμέλια σεισθῆναι. Οἱ δὲ θεωρήσαντες ἀνεπήδησαν φόβῳ καταπλαγέντες. Ἡ δὲ Ὀλυμπιὰς ἐπιγνοῦσα τὸν ἴδιον νυμφίον προτείνασα τὴν δεξιὰν ἐκ τοῦ κόλπου[8] ἐξήγειρε καταθέλγουσα[9]. Ὁ δὲ πάντοτε τοῦ τρικλίνου κυκλώσας ἦλθεν ἐπὶ τὰ γόνατα Ὀλυμπιάδος καὶ προϋβαλε τὴν δίχηλον γλῶτταν καὶ κατεφίλησεν αὐτὴν τεκμηρίῳ τὴν στοργὴν ἐπιδεικνὺς ὁ δράκων τοῖς θεωροῦσιν. Ὁ δὲ Φίλιππος φοβηθεὶς ἅμα ἐθαύμασε καὶ ἄγνοιαν παρεῖχε τοῦ ἀπιέναι[10]. Ὁ δὲ Νεκτανεβὼς οὐ βουλόμενος συνεχῶς ὀφθῆναι τῷ θεάτρῳ[11] μεταβάλλεται ἐκ δράκοντος

καὶ ἀκορέστως προσέχοντος B

om. gr.

---

[1] Bei Æ steht dieser Satz hinter βίβλῳ. [2] Æ fügt unpassend ἀλλὰ καί hinzu. [3] Æ: θεῶν. [4] w: ἦν ἐλθοῦσα. [5] Æ: θεῶν. [6] Æ: εἶπον. [7] w: τὸ πλῆθος. [8] ἐκ τ. κ. bei Æ hinter ἐξήγειρε. [9] Verm. չնթեալ. [10] Gemeint wohl: 'er wusste nicht, ob er bleiben oder weggehen solle'. V: discedit. [11] = τοῖς θεαταῖς.

B: πιστικῶς ἐστι δηλωτικὸν ὅτι καὶ συνέλαβεν ἡ γυνή σου κτλ.

× = C A; B: διὸ καὶ οἱ προσκυνοῦντες τοὺς θεοὺς ἐν αὐτῷ τιμῶσιν.

[illegible] B [illegible]: πάντας καταπολεμῶν

×× [illegible] B, [illegible] A. [illegible] B: ἡ γυνὴ οὖν Ὀλ. οὐ θαρροῦσα τῷ N. ἐπὶ τῷ γενομένῳ δι' αὐτοῦ περὶ τοῦ Φ.

ἀλλ' οὔτε τινὸς τῶν εὐπρεπεστάτων χαρακτήρων B

B nach προφήτῃ: τὰ γεγονότα τῷ Φ. Καὶ μεθ' ἡμέρας ὀλίγας συνὼν τῇ Ὀλ. Φ. ὁ βασιλεὺς λέγει πρὸς αὐτήν· „ἐπλάνησάς με, γύναι, οὐχ ὑπὸ θεοῦ συλλαβοῦσα ἀλλ' ὑπό τινος ἑτέρου· καὶ ἐμπεσεῖται εἰς τὰς χεῖράς μου." Ἀκούσας δὲ ταῦτα N. δείπνου μεγάλου ὄντος ἐν τῷ παλατίῳ καὶ πάντων εὐωχουμένων κτλ.

[illegible] A: ἐν τούτῳ δὲ ἐν τοῖς βασιλείοις κρύφα διάγων ὁ N. ἤκουσε Φ. λέγοντος Ὀλ.: „ἐπλάνησάς με, γύναι, οὐ γὰρ ἐκ θεοῦ σύλληψιν ἔχεις, ἀλλ' ὑπ' ἀνθρωπίνης φύσεως." Ὡς δὲ εὐωχουμένων αὐτῶν κτλ.

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА БЕОГРАД

B: τοῦ Ἄμμωνος μορφὴν καὶ Ἀπόλλωνος καὶ Ἀσκληπιοῦ.- A [illegible]

A: πρὸς τὴν ἡσυχίαν ἐν φιλολόγοις βίβλοις γενομένου αὐτοῦ.

ΓB: ἐψυχαγώγει αὐτὴν τοῦ μὴ σπένδειν τὸν τοκετὸν all., om. A.

M. εἰς ἀετὸν καὶ ἐκεῖθεν ἀφίπταται. τὸ δὲ ποῦ ἐχώρησε περιττόν ἐστί μοι = L, M., C.
λέγειν.

Ὁ δὲ Φίλιππος ἐκφοβηθεὶς καὶ ἐκ τοῦ φόβου[1] ἀνανοήσας[2] εἶπε· "Γύναι, κβ'.
τεκμήριον τοῦ περὶ σὲ κινδύνου ἐθεασάμην τὸν θεὸν βοηθήσαντά σοι διὰ
τὸν κίνδυνον. τίς δὲ ἦν ὁ θεός, οὐκ ᾔδειν. ἔδειξε γὰρ ἡμῖν τὴν Διὸς καὶ
Ἄμμωνος μορφήν.[3]" Λέγει Ὀλυμπιάς· "Καθὼς ἑαυτόν μοι ἐδήλωσεν,
ὅτε μοι συνῆλθεν, Ἄμμων ἐστίν, ὁ πάσης τῆς Λιβύης θεός". Ἀκούσας
ταῦτα ὁ βασιλεὺς ἐμακάρισεν ἑαυτόν. θεοῦ γὰρ σπορᾶς μέλλω — ἔλεγε — om. B [illegible]
πατὴρ γίγνεσθαι.

Μετὰ δὲ ὀλίγας ἡμέρας καθεζομένου Φιλίππου ἐν συμφύτῳ[4] τινὶ τόπῳ κγ'. = B
11. ἐν τοῖς βασιλείοις, οὗ ὄρνεις πολλαὶ ἐνέμοντο, καὶ πρὸς χρήσιμόν τι σχολάζοντος[5] om. B
αἰφνιδίως ἀλλομένη ὄρνις εἰς τὸν κόλπον αὐτοῦ ᾠὸν ἔβαλεν,
αὐτὴ δὲ ἀφίπτατο. καὶ τὸ ᾠὸν ἀποκυλισθὲν ἐκ τοῦ κόλπου αὐτοῦ εἰς τὴν om. Gr.
γῆν ἀπερράγη. ἀφ' οὗ ἐξῆλθε μικρὸν δρακόντιον καὶ κυκλεῦσαν πολλάκις
καὶ εἰς τὸ ᾠὸν βουλόμενον εἰσελθεῖν πάλιν, ὅθεν ἐξῆλθε, καὶ βαλὸν πάλιν πρὶν βαλεῖν ἔσω τ. κ.
ἔσω τὴν κεφαλὴν παραυτίκα ἐτελεύτησεν.

Ταραχθεὶς δὲ ὁ Φίλιππος οὐ μετρίως μετεστείλατο Ἀντιφῶντα[6], κατ' κδ'. om. A, IV, M.
ἐκεῖνον τὸν χρόνον ἐπίσημον σημειολύτην. καὶ στὰς ὑφηγήσατο αὐτῷ τὸ
γενόμενον σημεῖον, τὴν ὄρνιν, τὸ ᾠόν, τὸν δράκοντα, τὸ κυκλοῦν, τὴν = IV
τελευτήν[7]. Ὁ δὲ Ἀντιφῶν κατ' ἰδίαν ἐπιστήμας θεοῦ θελήσει ἐμπνευσθεὶς[8]
λέγει αὐτῷ· "Βασιλεῦ, ἔσται σοι υἱός, ὃς περιελθὼν τὸν ὅλον
κόσμον πάντας τῇ ἰδίᾳ δυνάμει ὑποτάξει, αὐτὸς δὲ οὐδενὶ ὑποταχθήσεται. om. Gr.
ὑποστρέφων δὲ εἰς τὴν ἰδίαν χώραν ὀλιγοχρόνιος τελευτήσει. ὁ γὰρ δράκων
βασιλικὸν ζῷόν ἐστι. τὸ δὲ ᾠόν, ὅθεν ὁ δράκων ἐξῆλθε[9], παραπλήσιον
τῷ ὅλῳ κόσμῳ. καὶ κυκλεύσας τὸν κόσμον καὶ βουλόμενος ὅθεν ἦλθε πάλιν = B
εἰσελθεῖν, οὐκ ἔφθασεν, ἀλλ' ἐτελεύτησεν." Οὕτως οὖν λύσας ἡρμήνευσεν
αὐτῷ τὸ σημεῖον καὶ δῶρα λαβὼν παρὰ τοῦ Φιλίππου ἐξῆλθεν.

12. Καὶ τελεσθέντος τοῦ ὡρισμένου χρόνου τῆς κυήσεως ἐννέα μηνῶν κε'. om. Gr. = B
μετὰ τὴν πλήρωσιν τῆς συλλήψεως[10], ἡ Ὀλυμπιὰς ἐκάθισεν ἐπὶ τὸν
κυοφόρον δίφρον τίκτειν. παρέστη δὲ ὁ Νεκτανεβὼς καὶ κατεμέτρησε τοὺς
οὐρανίους δρόμους τῶν ἀστέρων. καὶ συγκλονήσας τὰ κοσμικὰ στοιχεῖα om. B, habet A
τῇ ἑαυτοῦ δυνάμει χρώμενος ἔμαθε τὰ ἐνεστῶτα[11] καὶ εἶπεν· "Ἐπίσχες V τῇ φύσει all. B
σεαυτήν, γύναι, καὶ νίκησον τὰ ἐνεστῶτα τῇ φύσει[12] καὶ παραπλησία om. B., [illegible]
ἴσθι τῇ φύσει, ἥ ἐγέννησέ σε. ἐὰν γὰρ νῦν ἀποκυήσῃς, ὑπόδουλον[13] ἢ [illegible] in L
αἰχμάλωτον ἄλλων τέξῃ".

Πάλιν δὲ τῆς γυναικὸς ὀχλουμένης ὑπὸ τῶν ὠδίνων καὶ μὴ δυναμένης κς'.
κατασχεῖν τῶν πλείστων πόνων, ὁ Νεκτανεβὼς λέγει· "Καρτέρησον ὀλίγον, = Cl. τοῖς ἐκ τ. ὠδίνων πόνοις B
ὦ βασίλισσα. ἐὰν γὰρ νῦν ἀποκυήσῃς, γάλλος ἔσται ἢ ἀπρόσκοπος ὁ
γεννώμενος". Καὶ παραμυθίαν τινὰ παρεῖχεν ὁ Νεκτανεβὼς παρηγορίαις
τῇ γυναικί, καὶ ἐπεῖχε τὴν χεῖρα τοῖς φυσικοῖς ἑαυτῆς πόροις διδαχθεῖσα
τῇ ἀνάγκῃ. Ὁ δὲ Νεκτανεβὼς τῇ ἰδίᾳ δυνάμει κατεῖχε[14] τὸν τοκετόν.

---

[1] ἐκ τ. φ. bei Æ vor καί. [2] w: πρὸς ἑαυτὸν ἐλθών. [3] V: quippe ut Iovem credas ex aquila, ut Hammonem ex dracone. [4] Von Æ = consitus, densus gefasst. [5] V: isque intentus rebus agendis animum occupavisset. [6] A V. [7] V. [8] V: ad incrementum peritiae dei adminiculo inspiratus. [illegible] B [9] Auch bei Æ hinter κόσμῳ. [10] Die Zeitbestimmung fehlt sonst. [11] w: τὸν ἐν. χρόνον. [12] So nach L. Æ: νίκησον τὴν φύσιν διὰ τῶν ἐνεστώτων. [13] Æ: ὑπὸ δουλείᾳ. [14] ἐκώλυε.

M.

καὶ πάλιν κατενόησε τοὺς οὐρανίους τῶν ἀστέρων δρόμους [καὶ] τῶν κοσμικῶν
om. BL στοιχείων. ἐπέγνω τὸν σύμπαντα κόσμον καὶ τὸν Κρόνον μεσουρανοῦντα,
καὶ λαμπηδόνα τινὰ ἐξ οὐρανοῦ ἐθεάσατο ὡς τοῦ ἡλίου μεσημβριάζοντος,
καὶ λέγει τῇ Ὀλυμπιάδι· "Δίδου τὴν πρὸς τὸν τοκετὸν φωνήν".
Καὶ αὐτὸς ἐπένευσε τὸν τοκετὸν αὐτῆς καὶ εἶπε· "Βασίλισσα, ἐὰν νῦν
ἀποκυήσῃς, κοσμοκράτωρ ἐστὶν ὁ γεννώμενος". Ἡ δὲ Ὀλυμπιὰς βοὸς
μεῖζον ἐμυκήσατο καὶ ἀπεκύησεν ἄῤῥενα παῖδα.

om. Gr. χζ΄. Τοῦ δὲ παιδὸς πεσόντος εἰς τὴν γῆν σεισμὸς ἐγένετο καὶ βροντὴ καὶ
=B om. Gr. κτύποι ἀλλεπάλληλοι καὶ ἀστραπῶν φωτισμοὶ ἐκ τῆς γῆς ἐφαίνοντο, ὥστε
σχεδὸν τὸν σύμπαντα κόσμον κινεῖσθαι. ‖ Καὶ εἶπεν ὁ Φίλιππος· "Ἠβουλόμην[1] 13.
τοῦτον οὐκ ἀναθρέψαι, ὦ γύναι. οὐ γάρ ἐστιν ἐμὸν γέννημα. ἀλλ
ἐπειδὴ ὁρῶ τὴν μὲν σπορὰν ἐκ θεοῦ[2] οὖσαν, τὸν δὲ τοκετὸν ἐπίσημον
ἐν τοῖς κοσμικοῖς στοιχείοις γενησόμενον[3], τρεφέσθω εἰς μνήμην τοῦ
παιδός μου τοῦ τελευτήσαντος γενομένου μοι ἐκ τῆς προτέρας γυναικός.
καλείσθω δὲ Ἀλέξανδρος". Οὕτω λέγοντος τοῦ Φιλίππου τὸ παιδίον[4] τὴν
προσήκουσαν ἐπιμέλειαν ἐλάμβανεν. στεφανηφορίαι δὲ διὰ ὅλης τῆς Μακεδονίας,
διὰ Πέλλης καὶ διὰ τῆς Θρᾴκης καὶ διὰ τῶν ἐθνῶν ἐγένοντο.

χη. Καὶ ἵνα μὴ ἐπὶ πολὺ βραδύνω τὸν λόγον τὸν περὶ τῆς ἀνατροφῆς
om. Gr. Ἀλεξάνδρου, ἀπ' ἀρχῆς ἄρξομαι[5] λέγειν ὧν ἔτυχε τροφῶν. Ἀπογαλακτισθεὶς
γὰρ καὶ ἀναβιβασθεὶς[6] τῇ ἡλικίᾳ τὴν μορφὴν οὐχ ὅμοιος ἦν
Φιλίππῳ καὶ Ὀλυμπιάδι, ἀλλ' οὐδὲ τῷ σπείραντι, ἀλλ' ἰδίοις τύποις τῆς
μορφῆς κεκοσμημένος. ✓ Χαίτην γὰρ λέοντος εἶχεν. οἱ δὲ ὀφθαλμοὶ ἑτερόγλαυκοι,
om. B, A μελάνιον μέλαν ὁ μὲν δεξιὸς καταφερὴς καὶ μέλας, ὁ δὲ εὐώνυμος γλαυκός. ὀξεῖς
=A δὲ ἦσαν οἱ ὀδόντες ὥσπερ πασσαλίσκοι[7]. ὁρμὴν[8] δ' ἀνεφήνατο ὡς λέοντος. =A
B: ἐκ δράκοντος καὶ πρόδηλος ἦν ἡ φύσις, ὁποῖος ἀποβήσεται ὁ παῖς.[9] κατὰ χρόνους δὲ =A
αὐξήσας ἔπειτα εἰς τὰ μαθήματα ἐμελέτα καὶ εἰς τὸ βασιλεύειν.[10] =JV

✓ χθ΄. Ἦν δὲ αὐτοῦ τροφὸς Λακρίνη Κελτίς[11], ἀδελφὴ Μελάνου, καὶ παιδαγωγὸς
=Bi, BCL, Ἄλκιππος A καὶ ἀνατροφεὺς Λεωνίδης Λάκων, καὶ διδάσκαλος γραμμάτων[12] Πωλίνικος,
μουσικῆς δὲ Λεύκιππος Λήμνιος, γεωμετρίας Μένεχμος Πελοποννήσιος,
ῥητορικῶν δὲ λόγων Ἀναξιμένης Ἀριστοκλέους[13] Λαμψακηνός, φιλοσοφίας
δὲ Ἀριστοτέλης Νικομάχου[14] Σταγειρίτης ἀπὸ Μιλήτου[15] πόλεως. Ἐμνήσθη
= δὲ καὶ Παφώρανος[16] τούτων ἐν τῷ τετάρτῳ τόμῳ ἐν ταῖς παντοδαπαῖς [q. JV.
χαριέσσαις ἱστορίαις αὐτοῦ.

✓ λ΄. Ὁ δ' Ἀλέξανδρος πᾶσαν παιδείαν ✓ μελετήσας ἤσκησε, καθὼς πρότερον [q. Syr.
εἴρηκα, βασιλεύειν. ὥστε φανερὸν εἶναι δηλονότι παρὰ θεοῦ τινος μαθόντα. [c. Bi. u. JV
Ἀπολυόμενος γὰρ ἐκ τῶν μαθημάτων[17] ἔκρινε[18] τοὺς [συμ]μαθητὰς αὐτοῦ
κατὰ μέρη καὶ ἐποίει πόλεμον. ὁπότε δὲ ἑώρα μέρος ἡττώμενον [ὑπὸ

---

[1] Æ: βούλομαι. [2] Æ: θεῶν. [3] Verm. եղանելոց st. եղելոց. Oder եղեալ γενόμενον. [4] l. մանուկ st. մանկան. [5] Lesart schwerlich richtig. [6] αὐξηθείς. [7] A. [8] l. զխմազրաւութիւն. [9] A. [10] V. [11] Wunderlich bei I. Zacher [Pseudocallisthenes. Halle 1867] p. 89, bei dem sich überhaupt mancherlei Irrtümliches findet. [12] l. գրոց. [13] Æ: Ἀριστοκλῆς. [14] Æ: Νικομιτάχου. [15] Æ: Μελήτου. [16] V: Enim de milite [stirpe?] ... sat tibi lector habeto graecum Favorini librum, qui Omni genere historiae superscribitur [Παντοδαπὴ ἱστορία]. [17] Æ: μαθηματικῶν ἐπιστημῶν. [18] Von Æ —wie von V— = ἐδίκαζε gefasst. B: ἐδίδασκε.

Γσὺν ἀγαθῇ τύχῃ add. BCL

Πρωΐας δὲ γενομένης ἰδὼν Φ. τὸ τεχθὲν παιδίον ὑπὸ Ὀλ. ἔφη BL.

✓ μορφὴν μὲν εἶχεν ἀνθρώπου, τὴν δὲ χαίτην κτλ. BL

Μέλεμνος LBC, Μένιππος A, Menecles JV, Πολέμων Bi
Ἀξιαμένης B, Ἀξιμένης L, Ἀξιομένης C, Ἀθηναῖος Ἀριστομένης A

✓ καὶ ἀστρονομίαν add. Gr.

Gr.: τοὺς συμμαθητὰς αὐτοῦ ἐδίδασκε κατὰ μέρος καὶ εἰς πόλεμον αὐτοὺς ἤθροιζε καὶ μόνος συνῆπτε τὴν μάχην. ὁπότε δὲ κτλ. – Syr. u. JV [illegible]

УНИВЕРСИТЕТСКА БИБЛИОТЕКА * БЕОГРАД

√ οὕτως μὲν (οὖν B) ὁ Ἀλ. ἀνετρέφετο. καὶ μετὰ τῶν στρατευμάτων ἐπὶ τὸ καμπικὸν ἔτρεχε μελέτημα (om. B) καὶ τοῖς ἵπποις ἐναλλόμενος ἵππευεν add. BCL, om. [illegible] Arm. A, Syr., JV.

[illegible] in B&L: βίᾳ δὲ φρουρούμενος ὑπὸ πάντων κατείχετο. οἱ δὲ ἱπποφορβοὶ κτλ.

√ ἄρτι ὁρῶντα τὸν Φ. εἰπεῖν· „τέκνον Ἀλ., φιλῶ σου τοὺς τρόπους καὶ τὸ γενναῖον, οὐ τὸν χαρακτῆρα ὅτι οὐχ ὅμοιος μοι τυγχάνεις. Λυπηρὰ δὲ ταῦτα πάντα τῇ Ὀλ. ~~ἐγένετο~~ ἐτύγχανε. καλεῖ οὖν τὸν Ν. πρὸς ἑαυτὴν ἡ Ὀλ. καὶ λέγει αὐτῷ κτλ. BL. — A: ἀποδήμου δὲ ὄντος Φ. μετεκαλεῖτο ἡ Ὀλ. τὸν Ν. vgl. Syr. [illegible] [illegible] [illegible]. [illegible] [illegible] (p. 96 B).

√ A [illegible] [illegible]: ὁ δὲ „πότε;" ὁ δὲ „ἑσπέρας". cf. B i 641.

√

λαμβάνει φανερῶς κατὰ τοῦ ἰσχίου αὐτοῦ B
— φοβερῶς — τῶν ἰνίων — L
— ——— — τοῦ ἐγκεφάλου A. — ibique letali ictu cervicis h. afflictus JV.

=

√

om. BCL, Arm.: ἔφη αὐτῷ οὖν ὅτι τέκνον. ὁ δὲ εἶπεν· πῶς γέγονε τοῦτο; ὁ δὲ Ν. διηγήσατο κτλ.

M.

τοῦ ἑτέρου, εἰς τὸ ἡττώμενον μέρος μετέβαινε καὶ ἐβοήθει][1] καὶ πάλιν ἐκεῖ ἐνίκα. ὥστε φανερὸν εἶναι, ὅτι δι' αὐτοῦ ἐστιν ἡ νίκη. √

λα΄. = B

Ἐν τούτῳ δὲ τῷ χρόνῳ ἐκόμισαν οἱ τοῦ Φιλίππου ἱπποφορβοὶ ἐκ τῶν ἱπποφορβίων πῶλον ὑπερμεγεθέστατον καὶ παρέστησαν οὕτω λέγοντες· “Δέσποτα βασιλεῦ, τοῦτον ἐν τοῖς ἱπποφορβίοις σου εὕρομεν γεννηθέντα κάλλει καὶ τάχει διαφέροντα τοῦ Πηγάσου[2] καὶ τοῦ Ἀρείονος. καὶ γὰρ [ὡς] ὑπὸ Λαομέδοντος[3] ἀγόμενον[4] παρίσταμέν σοι.” Ὁ δὲ θεασάμενος τοσοῦτο κάλλος καὶ μέγεθος ἐθαύμασε μάλα καὶ εἶπε· “Καλός ἐστιν, ὄμνυμι[5] τὴν ἐμὴν σωτηρίαν.” “Ἀλλὰ — λέγουσι — δέσποτα, ἀνθρωποφάγος ἐστίν.” Ὁ δὲ λέγει· “Ἀληθῶς ἔστι τοῦτο, ὃ ἐν τοῖς Ἕλλησι παροίμιον ἐγένετο[6], ὅτι ἐγγὺς ἀγαθοῦ καὶ κακὸν[7] πέφυκεν. ἐπειδὴ οὖν πονηρὸς[8] ἐγένετο, ἀπολάβετε αὐτὸν καὶ ἐγκλείσατε ὑπὸ καγκέλλῳ χαλινοὺς τιθέντες καὶ σιδηρᾶ δεσμωτήρια, ἵνα, ὃς ὑποπεσεῖται τῇ κατὰ τοὺς νόμους τιμωρίᾳ[9] ληφθεὶς ἐπὶ ληστείᾳ ἢ φόνῳ, αὐτῷ παραβάλωμεν.” Ἐπεὶ δὲ ταῦτα ὁ βασιλεὺς εἶπε, τάχιον τοῦ λόγου[10] πέπρακται.

[illegible] [illegible], [illegible] vgl. JV.

[illegible] in J. [illegible] [illegible] [illegible] JV.

λβ΄. = B

Ὁ δὲ Ἀλέξανδρος προέκοπτε τῇ ἡλικίᾳ καὶ ἐτῶν δώδεκα γενόμενος μετὰ τοῦ πατρὸς εἰς τὰς πράξεις[11] ἐγένετο. καθοπλίσας ἑαυτὸν συνώρμα τοῖς στρατεύμασι καὶ ἐκὼν ἵπποις ἐφήλλετο. √ Ἰδοῦσα δὲ τὸν Φίλιππον οὐκ εὐμενῶς ἔχοντα πρὸς τὴν Ὀλυμπιάδα, ἐκάλεσε τὸν Νεκτανεβὼ ἡ Ὀλυμπιὰς πρὸς ἑαυτὴν καὶ εἶπε· “Σκέψαι, τί βουλεύεται περὶ ἐμοῦ Φίλιππος”. Ἐπεὶ δὲ ἐσκέψατο, παρεκάθητο μετ' αὐτοῦ [ὁ Ἀλέξανδρος]. Καὶ λέγει Ἀλέξανδρος· “Πάτερ, οὗτοι νῦν, οὓς λέγεις ἀστέρας, ἐν τῷ οὐρανῷ[12] φαίνονται;” “Καὶ μάλα, ἔφη[13], τέκνον.” Εἶπε· “Δύναμαι κἀγὼ αὐτοὺς ἰδεῖν;” Καὶ λέγει· “Δύνασαι, τέκνον.” √

[illegible]

√ εἰς δὲ τὸν πίνακα καὶ το
ἀστέρας σκέπτεται περὶ αι
τῆς Gr.

λγ΄. √ εἰς ἔρημον τόπον α
= B

Ἑσπέρας δὲ γενομένης παραλαβὼν τὸν παῖδα φέρει ἔξω τῆς πόλεως. √ καὶ ἀνέβλεψεν εἰς τὸν οὐρανὸν [καὶ] ἐδείκνυε τῷ Ἀλεξάνδρῳ τοὺς ἀστέρας. Ὁ δὲ Ἀλέξανδρος συλλαβὼν ἤνεγκεν αὐτὸν καὶ κατέβαλεν εἰς βόθυνον. Πεσὼν δὲ λαμβάνει τραύματα δεινὰ ἐν τῷ αὐχένι εἰς τὸ ἰνίον καὶ εἶπε· “Τέκνον Ἀλέξανδρε, τί ἔδοξέ σοι τοῦτο ποιῆσαι;” Ὁ δὲ λέγει· “Σεαυτὸν μέμφου, ἀστρολόγε.” Ὁ δὲ λέγει· “Διὰ τί;” Λέγει· “Ὅτι τὰ τῆς γῆς[14] οὐκ ἐπιστάμενος τὰ οὐράνια ἐκζητεῖς.” Ὁ δὲ λέγει· “Τελευτῶ, Ἀλέξανδρε, δεινὸν γὰρ εἴληφα τραῦμα πεσών. ἀλλ' οὐκ ἔστιν[15] οὐδενὶ τῶν θνητῶν κατανικῆσαι τὴν εἱμαρμένην.” Ὁ δὲ παῖς λέγει· “Διὰ τί;” Ὁ δὲ λέγει· “Ὡς ἐμοιρολόγησα[16], ἔγνων ἐμαυτόν, ὅτι εἱμαρμένον[17] ἦν μοι ὑπὸ τοῦ ἰδίου τέκνου ἀναιρεθῆναι, καὶ οὐκ ἠδυνάμην ἐκφυγεῖν τὴν μοῖραν, ἀλλ' ὑπὸ σοῦ ἀνῃρέθην.” Ὁ δὲ Ἀλέξανδρος λέγει· “Ἐγὼ οὖν υἱός σού εἰμι;” Ὁ δὲ λέγει· “Καὶ μάλα.” Ὁ δὲ Ἀλέξανδρος λέγει· “Πῶς;” “Τοῦτο ἀληθές ἐστι”, Νεκτανεβὼς εἶπεν, ὡς καὶ διηγήσατο αὐτῷ τὴν ⌈ἀπὸ Αἰγύπτου φυγὴν καὶ τὸ πρὸς Ὀλυμπιάδα ἔρχεσθαι καὶ τὴν εἰς τοὺς ἀστέρας σκέψιν καὶ τὴν ἐπιθυμίαν, καὶ πῶς εἰσῆλθε πρὸς αὐτὴν ⌊ καὶ συνεμίγη[18] αὐτῇ. Ταῦτα λέγων Νεκτανεβὼς ἐξέπνευσε τὸ πνεῦμα. ⌊ ὡς πρὸς Ἄμμων add. Gr.

μαθηματικέ B
om. BC, habet A

⌈ Αἰγύπτου αὐτοῦ βασιλεία
καὶ τὴν add. B
om. Gr.

---

[1] Wohl durch Versehen ausgefallen.

[2] Πηδάσου? Il. 16, 152.

[3] Il. 23, 345 ff.

[4] oder φερόμενον [τρεφόμενον?].

[5] l. երդնում.

[6] l. յելլենացւոց առակ եղև.

[7] l. չար st. ի չարէս.

[8] l. անզգամ.

[9] l. պատուհասիւ.

[10] V: cum dicto.

[11] A: παρατάξεις BC: τάξεις.

[12] l. յերկնի.

[13] Æ: λέγεις.

[14] զերկրի.

[15] l. է st. և.

[16] Æ: ἐμοιρολόγησαν.

[17] w: γεγραμμένον.

[18] Æ: εἰσῆλθον-συνεμίγην.

M.

λδ΄. Μαθὼν δὲ ὁ Ἀλέξανδρος πατέρα αὐτοῦ εἶναι τὸν τελευτήσαντα, ἐφοβήθη ἀφεῖναι αὐτὸν ἐν τῷ βόθρῳ, μὴ θηριόβρωτος γένηται. Νὺξ γὰρ ἦν καὶ ἔρημος ὁ τόπος. στοργὴν λαβὼν πρὸς τὸν σπείραντα √ ἄρας ἔφερεν αὐτὸν ἐπὶ τῶν ὤμων αὐτοῦ γενναίως μέχρις εἴσω τῆς θύρας. √ καὶ εἰσελθὼν πρὸς τὴν μητέρα διηγήσατο αὐτῇ πάντα, ὅσα ἤκουσε παρὰ τοῦ μάγου ἀστρολόγου. Καὶ ἡ Ὀλυμπιὰς καταπλαγεῖσα ἐθαύμασε καὶ κατέγνω ἑαυτῆς, ὅτι πλανηθεῖσα ἀπάτῃ καὶ μαγικαῖς τέχναις ἐμοιχεύθη. Ἔπειτα ἔθαψεν αὐτὸν πρεπόντως ἐκεῖνον[1] τὸν Νεκτανεβῶ ὡς πατέρα τοῦ υἱοῦ αὐτῆς καὶ τάφον ποιησαμένη ἐκεῖ (ἦρεν) ἔθετο αὐτόν.

xx

√ διεζώσατο al. L

διεζώσατο · BC

στοργὴν δὲ λαβοῦσα BL

λε΄. Θαυμά ἐστι τὴν πρόνοιαν δοκιμοῦν[2], τὸν μὲν Νεκτανεβῶ[3] ἄνδρα Αἰγύπτιον εἰς τὴν Μακεδονίαν ἐλθόντα κατὰ τὰ Ἑλλαδικὰ ἔθη ταφῇ κηδευθῆναι, τὸν δὲ Ἀλέξανδρον Μακεδόνα τυγχάνοντα εἰς Αἴγυπτον ἐλθόντα Αἰγυπτίᾳ ταφῇ θεῖον γενέσθαι[4]. κηδευθῆναι B

= B, om. A Syr.

hab. IV.

λϛ΄. Ἐλθὼν δὲ εἰς τὴν χώραν ὁ Φίλιππος καὶ εἰσελθὼν εἰς τὰ βασίλεια ἔπεμψεν εἰς Δελφοὺς[5] χρησμὸν λαμβάνειν, τίς ἄρα μετ' αὐτὸν βασιλεύσει. Τούτῳ δὲ ἡ Δελφικὴ Πυθία γευσαμένη τοῦ Κασταλίου νάματος χθονίου οὕτως εἶπε· "Φίλιππε, ἐκεῖνος ὅλης τῆς οἰκουμένης βασιλεύσει καὶ δόρατι πάντας ὑποτάξει, ὅστις τὸν Βουκέφαλον ἵππον ἐπιβὰς διὰ μέσης τῆς Πέλλης[6] διοδεύσει". Ἐκλήθη[7] δὲ ὁ ἵππος οὗτος Βουκέφαλος, διότι εἶχεν ἐν τῷ μηρῷ αὐτοῦ ἔγκαυμα ποικίλον τὸ βοὸς κεφαλῆς μορφὴν ἔχον. Ὁ δὲ βασιλεὺς ἀκούσας τὸν χρησμὸν διὰ παντὸς προσεδόκα νέον Ἡρακλέα ὁρᾶν. 15.

= AB

= A, ἐξῆλθεν BLC

Syr.

= IV, τῆς πόλεως Gr.

λζ΄. Ἀλέξανδρος δὲ Ἀριστοτέλει τῷ Σταγειρίτῃ [οὐ] μόνος καθηγητῇ ἐχρήσατο[8]. καὶ ἱκανῶν παίδων ὄντων πρὸς τῷ Ἀριστοτέλει εἰς μάθησιν παιδείας καὶ πολλῶν βασιλέων υἱῶν, εἶπε πρὸς ἕνα ὁ φιλόσοφος· "Ἐὰν κληρονομήσῃς τὸ βασίλειον τοῦ πατρός σου, τί χαρίσῃ τῷ καθηγητῇ σου;" Ὁ δὲ εἶπεν· "Ἔσῃ μετ' ἐμοῦ συνδιαιτώμενος[9]. ἰσοκρατῆ καὶ ἔνδοξον τῆς ἐμῆς βασιλείας ἀποδείξω σε." Ἑτέρου δὲ ἐπύθετο· "Σὺ δέ, τέκνον, τί ποιήσεις;" Ὁ δὲ εἶπε· "Διοικητήν σε ποιήσω καὶ σύμβουλον τῶν ὑπ' ἐμοῦ κρινομένων σε καταστήσω." Πυθόμενος δὲ τοῦ Ἀλεξάνδρου λέγει· "Εἰ σὺ δεσπόζεις τὸ πατρῷον τῶν Μακεδόνων, τί ποιήσεις;" Ὁ δὲ ἐσίγησεν ἱκανὸν χρόνον, καὶ τότε ἐμβλέψας τῷ διδασκάλῳ λέγει· "Περὶ μελλόντων πραγμάτων πῶς πυνθάνῃ τοῦ τῆς αὔριον ἐνέχυρον μὴ ἔχοντος; τότε δώσω, ὃ ἂν δοκιμάσας ἐκλέξω, ὅτε[10] ἡ ἄνω πρόνοια τὸν καιρὸν καὶ τὴν ὥραν καὶ ὑπόσχεσιν διδόναι ἐπιτρέψει[11]." Καὶ ταῦτα ἀκούσας Ἀριστοτέλης λέγει Ἀλεξάνδρῳ· "Χαίροις, κοσμοκράτορ, σὺ γὰρ μέγας καῖσαρ ἔσῃ." 16.

√

om. Gr.

=

√

q. A.

μέγιστος βασιλεὺς Gr.

λη΄. Καὶ Ἀλέξανδρος οὖν ὑπὸ πάντων ἐφιλεῖτο ὡς φρενήρης σοφὸς καὶ φρόνιμος πολεμιστής. Ὁ δὲ Φίλιππος ἀμφιβολίαν εἶχεν. ἔχαιρε γὰρ ὁρῶν τοιοῦτο πολεμικὸν[12] πνεῦμα τοῦ παιδὸς αὐτοῦ, ἐλυπεῖτο δὲ οὐχ ὅμοιον ἰδὼν αὐτὸν τῷ ἑαυτοῦ χαρακτῆρι.

λθ΄. Πολλὰ δὲ Ἀλεξάνδρου δῶρα ἀπονείμαντος ἄλλοις, ἅτινα ὑπὸ τοῦ πατρὸς αὐτῷ ἐπέμπετο, ἔγραψε Ζεῦξις ἐπιστολὴν τοιάνδε· "Φιλίππῳ καὶ Ὀλυμπιάδι

= J Val. u. Syr.

---

[1] oder αὐτὸν. [2] = δοκιμάζον bewährend. l. առեալ. [3] l. զի Նեկտանեբոս. [4] Var. θείως κηδευθῆναι. [5] Nach Æ wäre Δελφίδα vorauszusetzen. [6] So nach V. Æ: Ἑλλάδος. [7] l. կոչեցաւ. [8] w: δι' Ἀ. ἐδίδασκεν ἑαυτόν. — V: jam tantum. Danach wäre μόνον zu geben. [9] l. բնակեալ. [10] st. զինչ ὅ τι [V: quod] wäre զի oder յորժամ zu erwarten. [11] Von Æ = κελεύσει gefasst. [12] oder ἀρειμάνιον.

xx [illegible] [illegible] [illegible] A post: ὄψῃ πρὸς αὐτόν· οὐκ εὖ ἐποίησας, πάτερ .... aliaque plura satis corrupta interposuit, quibus Al. Nectanebum meritas fraudis suae poenas dare exponit, (Müller).

καὶ ἀπάγει πρὸς Ὀλ. τὴν μητέρα αὐτοῦ Gr. BL [illegible] [illegible]: καὶ ἀναγαμένη ἡ Ὀλ. εἶπε πρὸς Ἀλ. τί τοῦτο, τέκνον; ὁ δὲ εἶπε, νέος Αἰνείας τὸν Ἀγχίσην βαστάζω (ὁ δ. ε. τυμπεύσων β. L) quam ineptiam, ut ait Müllerus, ignorat cod. A et versio lat.

τοῖς ἐμοῖς δεσπόταις χαίρειν. Ἔστιν[1] ἐπίστασθαι παρὰ Ζεύξιδος τοῦ θεράποντος ὑμῶν, ὅ τι ποιεῖ ὁ Ἀλέξανδρος. ἅτινα γὰρ κελεύετε φέρεσθαι τούτῳ, οὐκ ἐπιαρκῆ εἶναι διὰ τὸ πολλὰ δῶρα χαρίζεσθαι. ὑμεῖς οὖν ἐκλέγοντες κρίνατε, ἃ δοκεῖ ὑμῖν πέμπειν μοι. ἐῤῥῶσθαι ὑμῖν εὔχομαι."

μ′. Ἀντέγραψαν καὶ οὗτοι Ἀριστοτέλει τῷ διδασκάλῳ αὐτοῦ ἐπιστολὴν τοιάνδε· "Φίλιππος καὶ Ὀλυμπιὰς Ἀριστοτέλει τῷ διδασκάλῳ χαίρειν. Ζεῦξις, ᾧ ἐπεστήσαμεν[2] τὴν πρόνοιαν τοῦ παιδός[3], τὰ ἡμῶν, ἅτινα κελεύομεν φέρεσθαι πρὸς ὑμᾶς, ἤγγειλεν οὐκ ἐπιαρκῆ εἶναι Ἀλεξάνδρῳ ἅτε πολλὰ δῶρα βουλομένῳ διδόναι. Ἐπιδὼν οὖν τοῦτο[4] εὖ διάταξον καὶ ἐξήγησαι ἡμῖν."

μα′. Ἀντέγραψεν ὁ φιλόσοφος ἐπιστολὴν περιέχουσαν οὕτως· "Ἀριστοτέλης ὁ φιλόσοφος Φιλίππῳ καὶ Ὀλυμπιάδι χαίρειν. Οὐκ οἴομαι ἔγωγε[5] νουθετεῖν τὸν υἱὸν ὑμῶν Ἀλέξανδρον [ὡς] ἀλλότριόν τι ἑαυτοῦ καὶ ἔξω τῶν ἐμῶν καὶ τῶν ὑμετέρων ἠθῶν πράξαντα. ἀκούω γὰρ καὶ τὰ μαθήματα τούτου ὁρῶν κρίνω[6], ὅτι διὰ ἐξετάσεως πράσσειν καὶ οὐχ ὡς παῖς, ἀλλ᾽ ὡς γηραιὸς ἀνὴρ ἐκλέγειν καὶ κρίνειν δύναται. Ὅ τι οὖν ὑμῖν ἀρεστὸν δόξει, τοῦτο ποιήσατε. ἔῤῥωσθε."

μβ′. Ταῦτα δὲ ἀναγνόντες ἔπεμψαν καὶ οὗτοι ἐπιστολὴν Ζεύξιδι περιέχουσαν τάδε· "Φίλιππος καὶ Ὀλυμπιὰς Ζεύξιδι ἡμετέρῳ χαίρειν. Ἐπέμψαμεν Ἀριστοτέλει τῷ διδασκάλῳ τὰ γεγραμμένα ὑπὸ σοῦ πρὸς ἡμᾶς γράμματα. ὥστε ταῦτα ἀπολαβὼν τὰ γεγραμμένα ὑπ᾽ αὐτοῦ ἐπιμελοῦ διορθοῦν. ἔῤῥωσο."

μγ′. Ὁ δὲ Ἀριστοτέλης ἀγανακτῶν ἔγραψε δι᾽ ἀπειλῆς Ἀλεξάνδρῳ γράμματα τοιάδε· "Ἀριστοτέλης Ἀλεξάνδρῳ τῷ υἱῷ χαίρειν. Ἔγραψαν πρὸς ἐμὲ οἱ γονεῖς σου τὰς πεπεμμένας ὑπ᾽ αὐτῶν δαπάνας σοι οὐκ εἶναι ἐπιαρκεῖς, ὃν οὐδὲν οἴομαι οὔτε τῶν σῶν οὔτε τῶν ἐμῶν οὔτε τῶν γονέων σου ἠθῶν[7] ἀλλότριον ποιεῖν. ἔῤῥωσό μοι, υἱὲ γλυκύ."

μδ′. Ἀντέγραψεν αὐτῷ Ἀλέξανδρος οὕτως· "Ἀλέξανδρος τῷ σοφωτάτῳ διδασκάλῳ μου Ἀριστοτέλει χαίρειν. ἴσθι, πάτερ, ἀναξίας [μὲν] εἶναι τὰς πεπεμμένας μοι ὑπὸ τῶν ἐμῶν γονέων δαπάνας. ὅμως ταῦτα ἀκούσαντας ἔδει αὐτοὺς χαλεπαίνειν ὡς τῷ ἰδίῳ υἱῷ.[8] νῦν δὲ τοὐναντίον πεποιήκασιν. ἐῤῥῶσθαί σοι εὔχομαι."

με′. Ὅμοια τούτων καὶ οἱ γονεῖς ἔγραψαν Ἀλεξάνδρῳ γράμματα, ἃ ἤγγειλε τὰ δεδογμένα αὐτοῖς τοιόνδε τὸν τρόπον· "Φίλιππος καὶ Ὀλυμπιὰς Ἀλεξάνδρῳ τῷ υἱῷ χαίρειν. Τὰς τεταγμένας σοι δαπάνας, ἃς παρ᾽ ἡμῶν πέμπομεν, ἀξίας Φιλίππου καὶ Ὀλυμπιάδος κρίνας, μὴ ἐξουδενήσας ἀπόπεμπε[9], μηδὲ τὰ Ἀριστοτέλους γράμματα [καταφρόνει], ἀλλά, ὡς πρέπει σοι, φύλασσε καὶ ἄλλα ἀμείνονα ἐνθυμεῖσθαι ἐπινόει[10]. ἔῤῥωσο ἡμῖν, φίλον καὶ σοφὸν παιδάριον."

---

[1] l. է st. և [V: est scire]. [2] auferlegen. [3] V: qui sumptibus Alexandri est praefectus. [4] l. տեսեալ յայդր [Var.] վերայ. [5] w: ταῖς ἐμαῖς χερσίν. [6] Ich lese դատեմ զի st. դատող. [7] St. կամաց [θελήματος] wird, wie in μα′. բարուց [ἠθῶν] zu lesen sein. [8] Wie Eltern dem Kinde zürnen [?]. Nach dem Syrer: ἔδει αὐτοὺς ἑαυτοῖς, οὐ τῷ υἱῷ χαλεπαίνειν. Jedoch wäre dann nicht ὅμως, sondern διό zu erwarten. V: reges pariter ac parentes. [9] V: prodigeris. So auch Var. [in e. ἀντίγραφον ἀμφίβολον]: μὴ εἰκῇ καὶ ἀπρεπῶς ἀνάλισκε, μηδὲ καταφρόνει τῶν Ἀριστοτέλους γραμμάτων. [10] l. ածել խորհեա.

УНИВЕРСИТЕТ КА БИБЛИОТЕКА БЕОГРАД

M.

μϛ'. Ἀντέγραφε καὶ Ἀλέξανδρος αὐτοῖς γράμματα, ἃ ἤγγειλε τάδε· "Ἀλέξανδρος Φιλίππῳ καὶ Ὀλυμπιάδι χαίρειν. Τὰς τεταγμένας δαπάνας, ἃς δίδοτέ μοι διὰ Ζεύξιδος, οὐκ ἀξίας Ἀλεξάνδρου [ὁμολογήσω][1] οὐδὲ οἵας προσήκει διανέμειν Φιλίππῳ καὶ Ὀλυμπιάδι. τὰ δὲ Ἀριστοτέλους τοῦ διδασκάλου μου προστάγματα ἐνθυμοῦμαι καὶ κρίνω ἄξια δοτῆρος τῆς ἐπιστήμης. ὑμᾶς δὲ μέμφομαι, οἳ ῥᾳδίως τὰ ὦτα παρέχετε ἄλλοις ποτὲ κακοήθεσι καὶ κόλαξι, καὶ ταῦτα[2] [οὐ περὶ ἀλλοτρίου τινός, ἀλλὰ][3] περὶ τοῦ υἱοῦ[4] [καὶ ἐγκαλεῖτέ μοι ἀντὶ[5] τοῦ] σιωπᾶν — ὃ κατὰ τὴν φύσιν δεῖ — καὶ ἐπιμέλειαν ποιεῖσθαι, ἥ μοι ὄνησιν φέρει. ἐρρῶσθαι ὑμῖν εὔχομαι."

= A μζ'. Ἐπεὶ δὲ ἐγένετο ὁ Ἀλέξανδρος οὗτος ἐτῶν δεκατεσσάρων[6], ἔτυχε διέρχεσθαι αὐτὸν τὸν τόπον, ἔνθα ἦν ὁ Βουκέφαλος ἵππος ἐγκεκλεισμένος. 17. ἤκουσε φοβεροῦ χρεμετισμοῦ. ἐπιστραφεὶς πρὸς τοὺς Φιλίππου προσπόλους[7] λέγει· "Τί ἡ βοὴ αὕτη; χρεμετισμὸς ἵππου ἢ βρύχημα λέοντός ἐστιν;" Παρείπετο δὲ αὐτῷ Πτολεμαῖος, ὁ ὕστερον Σωτὴρ κληθείς, καί φησιν· "Δέσποτα, οὗτός ἐστιν ὁ Βουκέφαλος ἵππος, ὃν ὁ πατήρ σου ἐνέκλεισεν, ὅτι ἀνθρωποφάγος ἐστίν". Ἀκούσας δὲ ὁ ἵππος τῆς Ἀλεξάνδρου λαλιᾶς, ἐκ δευτέρου ἐχρεμέτισεν, οὐχ ὡς πάντοτε ὠμὸν καὶ φοβερόν, ἀλλὰ μειλίχιον, λιγυρὸν[8] καὶ ἡδύ. Ἐμοὶ δοκεῖ ὑπὸ θεοῦ ἐπιταχθεὶς ὁ Βουκέφαλος Ἀλεξάνδρῳ οὕτω ποιῆσαι. προτείνας τὸ πρόσωπον πᾶν ἐκίνησε καὶ κατὰ τρόπον ἱκετευόντων λιτανείας ὡς τῷ δεσπότῃ αὐτῷ προσέφερεν.[9]

κενὴν A μη'. Ὁ δὲ Ἀλέξανδρος θεασάμενος αὐτοῦ τὴν καινὴν πρόσοψιν καὶ λείψανα πολλῶν βιαιοθανάτων ἀνθρώπων θεασάμενος, ἠλέησεν ὡς ἄνθρωπος.[10] = A καὶ παραγκωνισάμενος τοὺς φύλακας ἠνέῳξε τὴν κιγκλίδα τοῦ καγκέλλου τῇ ἑαυτοῦ γεννήσει[11] πεποιθὼς καὶ δραξάμενος τοῦ τένοντος[12] τοῦ ἵππου = A ἤγαγεν ὑποτεταγμένον δυνάμει μᾶλλον ἢ τύχῃ καὶ ἐφήλατο αὐτῷ ἀχαλινώτῳ. V Δραμὼν δέ τις ταχέως ἀπήγγειλε ταῦτα τῷ Φιλίππῳ. Ὁ δὲ ὑπομνησθεὶς καὶ ἐνθυμηθεὶς τὰ περὶ αὐτοῦ γεγονότα ἀπήντησε τῷ υἱῷ αὐτοῦ ἀσπασάμενος αὐτὸν καὶ εἶπε· "Κοσμοκράτορ Ἀλέξανδρε, χαίροις." Ἱλαρὸς Φίλιππος ἐπὶ τῇ τοῦ υἱοῦ ἐλπίδι λεληθότως διετέλει. γεγηθότως A

μθ'. Ὁ δὲ Ἀλέξανδρος πεντεκαιδεκαετὴς γεγονὼς ἐν μιᾷ ἡμέρᾳ, ᾗ εὗρεν 18. εὐκαιροῦντα τὸν πατέρα, κατεφίλησεν αὐτὸν καὶ εἶπε· "Πάτερ, δέομαί σου, = A ἐπίτρεψόν μοι πλεῖν εἰς Πίσας." Λέγει ὁ Φίλιππος· "Βούλει θεᾶσθαι τὸν ἀγῶνα τῶν Ὀλυμπίων;" Λέγει ὁ παῖς· "Οὔ, πάτερ, ἀλλ' ἀγωνίζεσθαι om. Gr. βούλομαι." Λέγει· "Καὶ τίνα ἀγῶνα ἤσκησας, ὅτι τοῦτο πειρᾷ ποιεῖν; οἶδα γάρ σε, ὡς βασιλέως υἱόν, οὐδὲν ἄλλο πλέον ἐπίστασθαι ἢ τὸ πολεμικῶν ἵππων ἀσκήμασιν ἀγωνίζεσθαι. οὔτε γὰρ μάχην οὔτε πυγμὴν οὔτε ἕτερόν τι ἄσκημα τῶν γυμνασμάτων[13] ἐπίστασαι." Ὁ δὲ Ἀλέξανδρος

πάλην οὔτε παγκράτιον A

= A, om. B

---

[1] V: confitebor. [2] Var. [3] Aus ἀντίγρ. ἀμφίβ. ergänzt. [4] l. որդոյ st. —ոց. [5] l. փոխանակ st. յաղագս [im Text]. [6] A. [7] M nach A: πρὸς τοὺς φίλους. C nur προσπόλους. [8] Von Æ = 'angenehm' gefasst. [9] Statt des wohl corrupten քանիոն լինել մատակել ի möchte ich nach VA etwa lesen: զօրէն մաղթականաց աղաչանս իբրև . . . Nach einer Var. [ἀντίγρ. ἀμφίβολ.] könnte man erwarten: իբրև հնազանդ լինելով ὡς ὑπήκοος ὤν. [10] A. [11] A: τάξει. [12] Æ hat m. E. τένων gelesen, dies aber = φορβειά Halfter gefasst. [13] A: οὔτε γὰρ πάλην οὔτε παγκράτιον οὔτε ἕτερόν τι τῶν γυμναστικῶν.

δεκαπέντε BC

= A, BCL: ἀποκριθεὶς δὲ Πτολεμαῖος ὁ στρατάρχης εἶπε

Γώς (τάχα αλλ. A) ὑπὸ θεοῦ ὑποτασσόμενος αλλ. Gr.
|= A: προτείνας τοὺς πόδας [τοὺς] ἔμπροσθεν κατὰ πέτα ἐκίνησεν, ὡς τῷ ἰδίῳ δεσπότῃ λιτανείας προσφαίνων. Aehnl. BL: ὡς οὖν ἤγγισε τῷ καγκέλλῳ (ὁ om. B) Ἀλ. εὐθέως ὁ ἵππος προέτεινε τοὺς ἐμπροσθίους πόδας τῷ Ἀλ. καὶ τὴν γλῶτταν αὐτοῦ προσχὼν (προχαίνων B, προσχαλῶν C) (εν αλλ. L) αὐτῷ ὑποφαίνων τὸν ἴδιον δεσπότην (αὐθέντην B).

V διὰ μέσου τῆς πόλεως Πέλλης Gr. om.

BCL: μιᾷ οὖν τῶν ἡμερῶν ηὗρεν εὐκαιροῦντα τὸν πατέρα αὐτοῦ Ἀλ. καὶ καταφιλήσας αὐτὸ
εἶπε· πάτερ κτλ.

ἐκέλευσε τοῖς πᾶσι (γράφ. παισί) τὴν τῶν ἵππων ἄλειψιν (ἄμειψιν BC) γενέσθαι (ποιεῖσθαι L) BL, A:
— - θεράπουσι γενέσθαι περὶ τὴν τῶν ἵππων ἐπιμέλειαν.

v ὁ υἱὸς Ἀρείου (Ἀρδέου C, Ἀνδρέου L) βασιλέως Ἀκ. BCL, om. A, Iv.

v ἅμα ἐπὶ τί πάρεστι θέλων μαθεῖν add. A, q. Iv.

= A, q. Iv: quem, inquit, arbitrare tam incuriosum salutasse? om. BCL.

μὴ ὡς δεικνὺν ἔχει (sic) περὶ τῆς αὔριον ἐνέχυρον ζωῆς A — φρυαττόμενος ὡς τὸ ἐνέχυρον ἔχων τῆς αὔριον ζωῆς BCL (τὸ ἱκανὸν L)

v ὑπονοεῖς δὲ οὐχ οὕτως add. BCL, om. A, Iv.

* = A: ὁ δὲ εἶπεν· „πάρειμι ἀγωνισόμενος οὐ τὸν ἱππαστήν, καὶ γὰρ (καίπερ M.) ἔτι μικρός εἰμι τῇ
ἡλικίᾳ, οὐδὲ συνωρίδος οὐδὲ ἕτερόν τι τούτων.“ ὁ δὲ εἶπε· „τί οὖν βούλει;“ ὁ δέ· „ἁρματη-
λατῆσαι θέλω.“ Διαζέσας τῇ χολῇ ὁ N. κτλ. — BLC: Ἀλ. εἶπεν· „ἐγὼ πάρειμι ἀγωνίσασθαί
σοι τὸν ἱππαστικὸν ἀγῶνα μικρὸς ὢν τῇ ἡλικίᾳ.“ Νικόλ. „μᾶλλον παλαιστὴς ἢ παγκρατιαστὴς
ἢ ἱμαντομάχος ἥκεις.“ ὁ δὲ Ἀλ. πάλιν ἔφη· „ἁρματηλατῆσαι βούλομαι.“ ὑπερζέσας κτλ.

F ὁρᾷτε εἰς τίνα ἐλήλυθε τὸ Πισαῖον στάδιον add. BCL, om. A, Iv.

M.

λέγει· “Ἁρματηλατῆσαι βούλομαι, πάτερ.” Ὁ δὲ λέγει· “Προνοήσομαί
σοι ἵππους ἐκ τῶν ἐμῶν ἱπποστασίων, καὶ οὗτοι εὐθέως προσαχθήσονταί
σοι. σὺ δὲ σεαυτὸν γύμναζε ἐπιμελέστερον[1].” Ὁ δὲ λέγει· “Σὺ μόνον
ἐπίτρεψόν μοι ἀπελθεῖν. ἐγὼ γὰρ ἔχω ἵππους, οὓς ἐκ νέας ἡλικίας γεγυμνασμένους ἐμαυτῷ ἀνέθρεψα.” Ὁ δὲ καταφιλήσας αὐτὸν καὶ θαυμάσας
τὴν προθυμίαν λέγει· “Τέκνον, εἰ βούλει, βάδιζε.”

Ὁ δὲ ἐπεὶ τὸ τοῦ ἀπελθεῖν ἤκουσεν[2], ἐπιμεληθεὶς ἐκέλευσε καινὴν ν'.
=BL ναῦν κατασκευασθῆναι[3] καὶ τοὺς ἵππους καὶ τὰ ἅρματα ἐμβληθῆναι εἰς καθελκυσθῆναι A
τὴν ναῦν. Αὐτὸς δὲ ἐξελθὼν ἅμα Ἡφαιστίωνι τῷ φίλῳ αὐτοῦ πλεῖν,
ῥᾳδίως παρεγένετο εἰς Πίσας. Ἐκβὰς δὲ καὶ λαβὼν ξενίαν ἐκέλευσε τοὺς
=BL θεράποντας τοὺς ἵππους σπουδαίως ἀλείφειν, αὐτὸς δὲ ἅμα τῷ Ἡφαιστίωνι
ἐπὶ τὸν περίπατον ἐξῆλθεν.

Καὶ τούτῳ ὑπαντήσας τις ὄνομα Νικόλαος,v ἀνὴρ τέλειος τῇ ἡλικίᾳ[4], ὁ να'.
βασιλεὺςv τῶν Ἀκαρνάνων, πλούτῳ[5] καὶ τύχῃ, δυσὶ θεοῖς ἀστάτοις φρυαττό- v Ἀβεαῖος (!) add. A.
μενος καὶ τῇ τοῦ σώματος δυνάμει πεποιθώς, προσῆλθε πρὸς Ἀλέξανδρον,
ἠσπάσατο ἅμα καὶ εἶπεv· “Χαίροις, καλῶς ἦλθες, μειράκιον.” Ὁ δὲ λέγει· om. Gr.
“Χαίροις καὶ σύ, ὦ ὅστις εἶ καὶ ὅθεν ἂν τυγχάνοις.” Ὁ δὲ λέγει· “Τίνα
οὖν ἐμὲ προσαγορεύσεις; ἐγὼ γάρ εἰμι Νικόλαος ὄνομα, ὁ βασιλεὺς τῶν
Ἀκαρνάνων.” Ὁ δὲ Ἀλέξανδρος λέγει· “Μὴ οὕτω γαυριῶ, Νικόλαε, ἐπὶ
τῇ τῆς βασιλείας τιμῇ ὡς τὸ ἱκανὸν ἔχων τὸ τῆς αὔριον ἡμέρας. ἡ τύχη[6] q. Gr.
οὐχ ἕστηκεν ἀσφαλῶς βᾶσα ἐπὶ μιᾶς ῥοπῆς. τροπὴ γὰρ μεταβάλλει ἀεὶ ἐφ' ἑνὸς τρόπου
=A καὶ τοὺς ἀλαζόνας αὐγενίζει[7].” Ὁ δὲ ἔφη αὐτῷ· “Λέγεις μὲν ὀρθῶς κατευτελίζει BCL
τοῦτο.v ἐπὶ τί δὲ παρεγένου ἐνταῦθα; ἔμαθον γὰρ ὅτι Φιλίππου τοῦ Μακεδόνος εἶ.” Ὁ δὲ λέγει· “Ἐγὼ παρεγενόμην ἐνταῦθα ἀγωνίζεσθαι οὐ[8] om. A
* τὸν ἱππαστικόν, καὶ γὰρ παῖς εἰμι τῇ ἡλικίᾳ, οὐδὲ τὸν συνωρίδος οὐδὲ
ἕτερόν τινα ἀγῶνα τῶν τοιούτων.” Ὁ δὲ Νικόλαος λέγει· “Τί οὖν βούλει;”
Ὁ δὲ λέγει· “Ἁρματηλατῆσαι θέλω.” Ὑπερζέσας δὲ τῇ χολῇ Νικόλαος
κατεφρόνησε διὰ τὴν ἡλικίαν οὐ μαθὼν τὴν τῆς ψυχῆς ἀνδρείαν ἐμπτύσας
αὐτῷ εἶπε. “Μὴ καλὸν γένοιτό σοι, μειράκιον μιαρόν.”F Ὁ δὲ δεδιδαγμένος
τῆς φύσεως ἐνεκρατεύσατο καὶ ἀπεμάξατο τὸ ἐν ὕβρει πτύελον τὸ εἰς
αὐτὸν βεβλημένον καὶ μειδιάσας θανάσιμον εἶπε· “Νικόλαε, ὄμνυμί σοι
τὸν ἄγνωστον[9] πατέρα μου καὶ τὴν γαστέρα τῆς μητρὸς τὴν θαυμαστήν, = A
ἥ ἐβάστασέ με, ὅτι καὶ ἐνθάδε ἅρματι νικήσω σε καὶ ἐν τῇ πατρίδι τῶν
Ἀκαρνάνων δόρατι λεηλατήσω[10].” Καὶ ἀπέβησαν ἀπ' ἀλλήλων διαμαχόμενοι.

19. Μετὰ δὲ ὀλίγας ἡμέρας ἦλθεν ἡ τοῦ ἀγῶνος προθεσμία. καὶ εἰσῆλθον νβ'.
ἁρματηλάται ἐννέα, ὧν τέσσαρες υἱοὶ ἦσαν βασιλέων. ἐκεῖνος ὁ αὐτὸς
Νικόλαοςv καὶ Ξανθίας ὁ Βοιώτιος καὶ Κίμων ὁ Κορίνθιος καὶ αὐτὸς ὁ v Ἀκαρναῖος add. BL, om. A, Iv.
Ἀλέξανδρος. οἱ δὲ λοιποὶ στρατηγῶν καὶ σατραπῶν υἱοὶ ἦσαν. Ἐτέθη
ἡ ὑδρία, ἐκληρώθησαν αἱ στάσεις τῶν ἁρμάτων [?][11] καὶ ἦλθε[12] πρῶτος = A, ἐτέθησαν λοιπὸν τὰ τοῦ ἀγῶνος πάντα BL

---

[1] w: εἰς ἐπιμέλειαν ἀσκήσεως φύλαττε σεαυτὸν ἐνδόξως. — *ἐνδόξως deutet darauf hin, dass im Texte etwas ausgefallen ist. M: ὁ γὰρ ἀγὼν ἔνδοξός ἐστιν.
[2] l. Ել նա und լուաւ. [3] BC. A: καθελκυσθῆναι. [4] A: ἀνδροφυής. τῇ ἡλικίᾳ [5] w: τῷ μεγέθει τῶν χρημάτων. [6] Bei Æ folgt ἡ . . [7] l. ընդունել. [8] M: σοί. [illegible]
[9] Wohl verlesen. A: ἁγνὴν τοῦ ἐμοῦ πατρὸς σποράν. [10] A: λήψομαί σε. [11] So gebe ich nach den thatsächlichen Verhältnissen. Æ: առընթեր [πλησίον] անիատք [aniat]. Das zweite Wort vermag ich nicht zu erklären. M: χαμπή — schwerlich richtig. [12] A: ἔλαχε.

* cf. [illegible] BL: ὁ γὰρ ἀγὼν ἔνδοξος.

M.

Νικόλαος, δεύτερος Ξανθίας, τρίτος Κίμων ὁ Κορίνθιος, τέταρτος Κλιτόμαχος[1] Βαλκαῖος[2], πέμπτος Ἀρίστιππος Ὀλύνθιος, ἕκτος Πιέρως Φωκαεύς, ἕβδομος Κίμων Λάκων, ὄγδοος Ἀλέξανδρος Μακεδών, ἔνατος Νικόμαχος Λοκρός. Οὗτοι ἔστησαν ἐν τῷ ἱπποδρόμῳ ἐπὶ τῶν ἁρμάτων πάντες.

νγ΄. Ἠλάλαξεν ἡ σάλπιγξ τὸ ἐναγώνιον μέλος. √ ἠνοίχθη ἡ ἀφετηρία, προεπήδησαν πάντες ὀξεῖ ὁρμήματι ὁρμῶντες τὸν πρῶτον καμπτῆρα[3] καὶ τὸν δεύτερον καὶ τὸν τρίτον καὶ τὸν τέταρτον. Καὶ ἐπεὶ ἡτοιμάσθησαν οἱ ἵπποι καὶ ἔστασαν παρεσκευασμένοι, καὶ τέταρτος ἦν ὁ Ἀλέξανδρος ἁρματηλατῶν, ὄπισθεν δὲ αὐτοῦ ὁ Νικόλαος, οὐχ οὕτως εἶχεν ἐν νῷ τὸ νικῆσαι μόνον, ὡς τὸ ἀναιρῆσαι τὸν Ἀλέξανδρον. ἦν γὰρ ὁ πατὴρ τοῦ Νικολάου ἐν τῷ πολέμῳ ἀναιρεθεὶς ὑπὸ Φιλίππου.

νδ΄. Τοῦτο δὲ γνοὺς ὁ φρενήρης Ἀλέξανδρος καταπεσόντων ἐπὶ τὴν γῆν τῶν πρῶτον ἐλαυνόντων, συνεχώρησεν Ἀλέξανδρος προελθεῖν Νικολάῳ. ὁ δὲ ἀγνοῶν τὴν (δολερὰν) ἐνέδραν προέβη ἑκὼν τὴν δόξαν ἔχων τοῦ στεφανωθήσεσθαι, (νῦν νικητὴς add. A) καὶ ἤλαυνεν ἔμπροσθεν ὡς δύο στάδια, [καὶ] πταίει ὁ δεξιὸς ἵππος τοῦ Νικολάου, καὶ πεσόντος τοῦ παρηόρου[4] [πίπτει] ὅλον τὸ ἅρμα σὺν τῷ ἡνιόχῳ. ὁ δὲ Ἀλέξανδρος ἰσχυρῶς ἐπιπίπτει τῇ ὁρμῇ τῶν ἵππων ἑαυτοῦ, καὶ τελευτᾷ ὁ Νικόλαος. παρέρχεται ὁ Ἀλέξανδρος. Καὶ γίγνεται ἐπὶ τῷ τελευτήσαντι ἡ παροιμία ἡ λέγουσα· Ἀνὴρ ἄλλῳ κακὸν τεύχων ἑαυτῷ κακὸν[5] τεύχει. καί· (om. Syr.) Τὸ κακὸν νόημα τῷ νοήσαντι μάλα κακόν ἐστιν.

νε΄. Καὶ νικήσας ὁ Ἀλέξανδρος τότε ἀναβαίνει ἐστεμμένος τῷ κοτίνου στεφάνῳ παρὰ τῷ Ὀλυμπίῳ Διί. (= A) Καὶ λέγει αὐτῷ ὁ Διὸς νεωκόρος· (= A, B μάντις) “Ἀλέξανδρε, προμηνύει σοι ὁ Ὀλύμπιος Ζεὺς ταῦτα· (om. A) ὥσπερ Νικόλαον ἐνίκησας, οὕτω πολλοὺς νικήσεις πολεμῶν.”

20

νς΄. Καὶ οὕτως ἀναιρῶν Ἀλέξανδρος τὸν Νικόλαον καὶ αὐτὸς λαβὼν τὸν στέφανον καὶ θείας τιμὰς θαυμαστὰς καὶ ἐνδόξους, νικηφόρος ἀναστρέφεται εἰς τὴν Μακεδονίαν καὶ εὑρίσκει τὴν μητέρα ἀπόβλητον γενομένην ὑπὸ τοῦ Φιλίππου. οὗτος γὰρ ἐγεγαμήκει τὴν ἀδελφὴν . . . . .[6] Κλεοπάτραν × τὴν θυγατέρα Ἀττάλου[7].

= B

νζ΄. Ταύτῃ δὲ τῇ ἡμέρᾳ γενομένων τῶν γάμων τὸν Ὀλυμπιακὸν στέφανον ἐπὶ τῆς κεφαλῆς ἔχων εἰσῆλθεν εἰς τὸ δεῖπνον καὶ εἶπε· “Πάτερ, δέξαι τόν μου τῆς πρώτης νίκης στέφανον. ἀλλ’ ὅτε κἀγὼ ἐκδίδωμι τὴν ἐμαυτοῦ μητέρα βασιλεῖ τινι, καλέσω σε[8] εἰς τὸν γάμον Ὀλυμπιάδος.” Ταῦτα εἰπὼν ἀνεκλίθη ἐναντίον τοῦ βασιλέως. Ὁ δὲ Φίλιππος ἐπὶ τοῖς εἰρημένοις ὕποπτος ἐγένετο[9]. (× = A) ‖ 21. ×Λυσίας δέ τις ὄνομα Φιλίππου παράσιτος γελωτοποιὸς ἀνακείμενος εἶπε τῷ Φιλίππῳ· “Πασῶν τῶν πόλεων δυνάστα, νῦν [ἐπειδὴ] (= L, C, Bi) σοι γάμοι γίγνονται καὶ τῇ γυναικὶ Κλεοπάτρᾳ, ἐξ ἧς παῖδας γνησίους ποιήσεις ἀμοιχεύτους ὁμοίους τοῖς τῆς σῆς μορφῆς τύποις — —”

νη΄. Ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος ὠργίσθη, καὶ ὡς εἶχε τὴν κύλικα ἐτίναξε καὶ ἔτυψε τὸν κρόταφον τοῦ γελωτοποιοῦ, καὶ ἀνεῖλεν αὐτόν. Τοῦτο ἰδὼν ὁ Φίλιππος ἀνέστη ξιφήρης καὶ ἐπῆλθεν Ἀλεξάνδρῳ καὶ προσπταίσας

---

[1] BC: Κλειτόμαχος. A: Κλινόμαχος. [2] V: Balcheus. [3] κύκλον. [4] w: der Genosse. [5] St. լերդին ἥπατι [pars pro toto?] möchte man eher անձին lesen. [6] A: τὴν ἀδελφὴν αὐτοῦ. Diese Lesart hat nach Anm. auch die der Edition zu Grunde gelegte Hds. [7] Æ: Ἀττάνου. Das hier angeschlossene τῶν γάμων ist wohl aus dem Folgenden hierher gekommen. [8] Dagegen Syr. οὐ καλέσω. [9] Auch ὠργίσθη.

Über d. Namen vgl. Müller Anm. 5.

√ ἐξῆλθον αἱ ταβλώσεις τῶν ἵππων add. BL, om. A.

[illegible] BL: οἱ μὲν οὖν ὑστεροῦντες ἠτόνησαν τῶν ἵππων λιποψυχησάντων, τέταρτος δὲ κτλ. – A: ο. μ. ο. ὑστερήσαντες ἀτονησάντων τ. ἵ. δ. (Müller [illegible]: ο. μ. οὖν ὑστέρησαν ἀτονησάντων τ. ἵ. καὶ λ.

A: μετὰ δὲ ~~β~~ β΄ καὶ γ΄ στάδια σκονδυλίζει ὁ δεξιὸς ἵππος κτλ. C: μετὰ δὲ ταῦτα . . .
B: — – δύο καμπτῆρας — — —
A fährt fort: καὶ καταπίπτει ὅλως τὸ ἅρμα σὺν αὐτῷ τῷ ἡνιόχῳ. ὁ δὲ ἐπιβὰς τῇ ὁρμῇ τῶν ἵππων Ἀλέξανδρος παραυτὰ ἀνῄρηκε τὸν Νικόλαον.
B: ὁ δ. ἵππος τ. Ν. ὁ ἐπὶ τῷ ἅρματι τῷ πρώτῳ (ἐ. τῷ π. ἅρματι Müller: ὁ ἐ. τῷ ῥυμῷ τοῦ ἅ.) καὶ συμπεσόντων τῶν ἵππων καταπίπτει ὁ Ν. Ὁ οὖν Ἀλ. ἐπιμένει (ἐπιβαίνει C) τῇ ὁρμῇ τῶν ἵππων ἑαυτοῦ καὶ παρερχόμενος ἐπιλαμβάνεται τῶν ἀξόνων τῶν ὀπισθίων τοῦ Νικ (καὶ add. C) σὺν τῷ ἡνιόχῳ καὶ (τοῖς ἵπποις add. C) τελευτᾷ Ν.

× τὴν ἀδελφὴν Λυσίου Κλεοπάτραν BCLBi – γαμοῦντα τὴν ἀδελφὴν αὐτοῦ (Ἀττάλου M.) Κλεοπάτραν A – Cleopatrae .. Attali cuiusdam non ignobilis filiae IV – cuiusdam hominis filiam Cleopatram hist. – Ein Weib namens Kleopatra, die Tochter des Königs Attalus Syr.

× BL: Ὁ δὲ Λυσίας ἀνακείμενος ἔλεγεν τῷ Φ.

B: ὁ τὴν Ἀσίαν νικήσας ὅλην καὶ τὴν Εὐρώπην ἐκ βάθρων καταστρέψαι οὐκ ηὐτόνησε βῆμα ἓν
L: – – – ὅλην σπεύδων παραλαβεῖν κ. τ. Ε. – – – – εὐτόνησας – –
C: – – – – – – – – – – – ἓν βῆμα

B: ἀνελθεῖν
L: –
C: –

× [illegible] L, [illegible] (mit BC) [illegible]: τὴν δὲ ἀδελφὴν Λυσίου Κλεοπάτραν φυγάδα ἐποίησεν. [illegible] A [illegible].

√ ἐγὼ δὲ ἔλεγχος σου τυγχάνω BL (ὑπάρχω C, ἔσομαι A)

[illegible] BCL: τὸ δὲ ὄνομα τοῦ Λυσίου ἔκτοτε παραιτοῦνται οἱ γαμοῦντες ὀνομάζειν μήποτε αὐτοῦ ὀνομασθέντος διάλυσιν λάβωσιν [illegible] A.

M.
τὸν πόδα πρὸς τὴν κρηπῖδα ἔπεσεν. ὁ δὲ Ἀλέξανδρος τοῦτο ἰδὼν εἶπεν·
“Ὁ τὴν Ἀσίαν σπεύδων λαβεῖν καὶ τὴν Εὐρώπην ἐκ τῶν βάθρων ἐκριζώσας καταστρέψαι B
οὐκ ηὐτόνησε τρέχειν ἐπὶ ἀκουβίτου[1].” Οὕτως εἰπὼν ἥρπασεν ἀπὸ
τοῦ πατρὸς τὸ ξίφος καὶ πάντας τοὺς ἀνακεκλιμένους ἡμισφαγεῖς ἐποίησεν.
om. Gr. [illegible] Ἦν δὲ ἰδεῖν τὰς τῶν Λαπιθῶν καὶ Κενταύρων μάχας × τὰς[2] περὶ Πειριθόου νθ΄. = B, om. A × ἱστορίαν Gr.
om. Gr. γάμων γενομένας, οἱ μὲν γὰρ αὐτῶν ὑπὸ τοὺς κλιντῆρας εἰσῆλθον,
οἱ δὲ τραπέζαις ὡς ὅπλοις ἐχρήσαντο[3], ἄλλοι δὲ εἰς σκοτεινοὺς τόπους
ἀνεχώρουν[4]. Καὶ ἦν θεωρεῖν νέον τινὰ Ὀδυσσέα καὶ τοὺς Πηνελόπης
22. μνηστῆρας ἀναιροῦντα[5]. ‖ Ἐξέρχεται καὶ εἰσάγει τὴν μητέρα ἔκδικος αὐτῆς ×
τῶν γάμων γενόμενος. Βαστάσαντες δὲ τὸν Φίλιππον οἱ δορυφόροι κατέκλιναν
ἐπὶ τοῦ κλιντῆρος ἐσχάτως ἔχοντα[6].

Καὶ μεθ᾽ ἡμέρας[7] εἰσῆλθε πρὸς αὐτὸν Ἀλέξανδρος καὶ παρακαθεσθεὶς ξ΄.
αὐτῷ εἶπε· “Φίλιππε,√ τῷ ὀνόματι καλέσω σε, μήπως ἀηδὲς δόξῃ σοι τὸ √ βασιλεῦ add. Gr., om. W.
ὑπ᾽ ἐμοῦ πατέρα φωνεῖσθαι. εἰσῆλθον γὰρ πρὸς σὲ οὐχ ὡς υἱός σου, ἀλλ᾽
ὡς φίλος μεσιτεύων τῶν ὑπὸ σοῦ πραχθέντων. νῦν εἰπέ μοι τοῦτο· καλῶς [illegible] Gr., W, B, Gr.
ἐποίησεν Ἀλέξανδρος ἀναιρῶν τὸν Λυσίαν ἐπὶ τοῖς ἀπρεπέσι ῥήμασιν [illegible]
αὐτοῦ; σὺ δὲ καλῶς ἐποίησας ἐπαναστὰς τῷ σῷ υἱῷ Ἀλεξάνδρῳ ἀναιρεῖν
αὐτὸν θελήσας καὶ γαμεῖν βουλόμενος ἑτέραν ὑπὸ τῆς προτέρας γυναικὸς
μηδὲν ἀδικηθεὶς Ὀλυμπιάδος; ἐξανάστηθι οὖν καὶ περὶ σεαυτὸν γενοῦ.
οἶδα γάρ, πρὸς τί οὕτω νόσον προφασίζῃ[8]. οὐ τὰ τοῦ σώματος, ἀλλὰ τὰ
τῆς ψυχῆς [νοσεῖς]. αἰδημονεῖς ἐπὶ τοῖς ἡμαρτημένοις. νῦν ἐγὼ παρακαλῶ
τὴν Ὀλυμπιάδα διαλλαγῆναί σοι. οἶδα γάρ, ὅτι πεισθήσεται Ἀλεξάνδρῳ = B, A [illegible]
τῷ υἱῷ αὐτῆς, κἂν σὺ μὴ[9] θέλῃς πατὴρ αὐτοῦ καλεῖσθαι.” Ταῦτα εἰπὼν [illegible].
ἐξῆλθεν.

Καὶ ἐλθὼν πρὸς τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα εἶπε· “Μῆτερ, μὴ ξα΄.
ἀγανάκτει ἐπὶ τοῖς γενομένοις πρὸς σὲ ὑπὸ τοῦ σοῦ ἀνδρός. ἐκεῖνον γὰρ
λανθάνει τὸ ἁμάρτημά σου.√ καὶ ἐγὼ Αἰγυπτίου πατρὸς υἱός εἰμι, νῦν δὲ om. A
εἴσελθε πρὸς αὐτὸν καὶ παρακάλει διαλλαγῆναί σοι. πρέπον γάρ ἐστι γυναῖκα
τῷ ἀνδρὶ ὑποτάσσεσθαι.” Ταῦτα εἰπὼν ἐξανέστησε τὴν μητέρα καὶ om. Gr.
τῆς χειρὸς λαβὼν εἰσήγαγε πρὸς Φίλιππον καὶ εἶπεν· “Ἐπιστράφηθι
ἐνθάδε, νῦν πατέρα φωνήσω σε, ὅτι καὶ σὺ τῷ υἱῷ σου Ἀλεξάνδρῳ ἐπείσθης.
νῦν πάρεστιν ἡ μήτηρ[10] πολλὰ ὑπ᾽ ἐμοῦ παρακληθεῖσα εἰσελθεῖν ἐνθάδε
πρὸς σὲ καὶ ἀμνήμονα γενέσθαι τοῦ ἁμαρτήματος. νῦν περιπλάκητε ἀλλήλοις,
αἰσχρὸν γὰρ οὐκ ἔστιν ἐναντίον ἐμοῦ. ἐξ ὑμῶν γὰρ ἔφυν.” Οὕτως
εἰπὼν διήλλαξε τοὺς γονεῖς, ὥστε πάντας τοὺς Μακεδόνας θαυμάζειν ἐπ᾽
αὐτῷ.

Τὸ δὲ ὄνομα τοῦ Λυσίου παραιτοῦνται[11] οἱ γαμεῖν βουλόμενοι καὶ οὐ ξβ΄. = B
μνημονεύουσι, μήπως τοῦτο[12] ὀνομάζοντες διάλυσιν λάβωσιν οἷς γάμοι
γίγνονται, διὰ τὸν ὄλεθρον τοῦ Λυσίου.

23. Πόλις τις ἦν Μεθώνη τὸ ὄνομα, ἡ ἀντάρασα ἀπέστη τοῦ βασιλέως ξγ΄[13].

---

[1] κλίνης. [2] Æ: καί. [3] l. փարէին. [4] w: ὁρμῶντες ἔπεσον. [5] զի ist zu tilgen und dann ելանէ zu lesen. [6] w: τὰ ἔσχατα ἄγοντα. [7] ohne Zahl. [8] Wohl unrichtige Auffassung von: διὰ τί νωθρεύῃ. [9] M: οὐ. [10] l. եկեալ է մայր und ընկալեալ. [11] Æ irrig: ζητοῦσι. Man erwartet հրաժարեն. [12] l. այդ. [13] Dies Cp. hat die Überschrift: Περὶ τοῦ ὑποτάσσειν Μοθώνην τὸν πατέρα αὐτοῦ.

M.

Φιλίππου. Ἔπεμψε τὸν Ἀλέξανδρον ὁ πατὴρ αὐτοῦ μετὰ τῶν στρατευμάτων αὐτοῦ πολεμῆσαι. Καὶ εἰς τόπον τοῦτον παραγενόμενος λόγοις συνετοῖς ἔπεισε τούτους μᾶλλον ὑπηκόους εἶναι ἢ τῇ τῶν ὅπλων δυνάμει =B αἰχμαλώτους γενέσθαι. om. BCL

ξδ'. Εἰσελθὼν δὲ ἀπὸ Μεθώνης πόλεως πρὸς τὸν πατέρα αὐτοῦ καὶ ἰδὼν ἐπάνω αὐτοῦ ἄνδρας βαρβαρικῷ στολισμῷ [ἠμφιεσμένους] ἐξήτασε λέγων· “Τίνες εἰσὶν οὗτοι;” Οἱ δὲ λέγουσι· “Σατράπαι εἰσὶ Δαρείου.” Λέγει Ἀλέξανδρος· “Τί παραγεγόνασιν ὧδε;” Οἱ δὲ λέγουσι· “Τοὺς συνήθεις φόρους ἀπαιτοῦσι τὸν πατέρα σου.” Ὁ Ἀλέξανδρος λέγει· “Ὑπὸ τίνος ἐπέμφθησαν ὧδε;” Λέγουσιν· “Ὑπὸ τοῦ βασιλέως τῶν Περσῶν Δαρείου.” Λέγει Ἀλέξανδρος· “Ὑπὲρ τίνος τοὺς φόρους ἀπαιτοῦσιν;” Ἀπεκρίθησαν λέγοντες· “Τοὺς τῆς γῆς Δαρείου.”[1] Ὁ δὲ Ἀλέξανδρος λέγει· “Εἰ ταῦτα οἱ θεοὶ δεδώκασι[2] τοῖς ἀνθρώποις δωρεὰν εἰς διατροφὴν (βίου), καὶ οὗτος τὰς τῶν θεῶν δωρεὰς ἐρανίζεται, Γ οὐκ ἔστι δίκαιον τὸν Φίλιππον τοῖς βαρβάροις φόρους παρέχειν.”

fehlt im Griech., findet sich im Syr. u. Di.
= Al. Syr.
= Syr.

ξε'. Καὶ αὐτὸς τοὺς Ἕλληνας εἰς δουλείαν ὑποτάσσειν θέλων[3] ἐκάλεσε τοὺς βαρβάρους καὶ λέγει αὐτοῖς· “Πορεύεσθε, εἴπατε Δαρείῳ, ὅτι Ἀλέξανδρος ὁ παῖς Φιλίππου ταῦτα λέγει· ὁ πατήρ μου ὅτε ἦν ἄπαις, φόρους ἐτέλει ὑμῖν. ὅτε δὲ ἐγένετο αὐτοῦ υἱὸς Ἀλέξανδρος, φόρους οὐκέτι δίδωσιν ὑμῖν. οὓς δὲ ἐλάβετε φόρους παρ' αὐτοῦ, οὐκ ἀφήσω ὑμῖν, ἀλλὰ ἐπανέρχομαι καὶ ἀπαιτῶ ὑμᾶς.” Καὶ ταῦτα εἰπὼν ἐξέπεμψε τοὺς πρέσβεις μηδὲ γραμμάτων ἀξιώσας τὸν[4] πέμψαντα αὐτούς. Ὁ δὲ πατὴρ αὐτοῦ ἔχαιρεν ὁρῶν τοιαῦτα τολμῶντα τὸν Ἀλέξανδρον. Γ

ξϛ'. =B Καὶ πάλιν ἑτέρα πόλις ἀτακτοῦσα ἀντῆρε τῶν Θρακῶν. ἔπεμψεν ὁ Φίλιππος τὸν Ἀλέξανδρον μετὰ πολλῶν στρατευμάτων πολεμῆσαι ἐπ' αὐτήν. V

24.

ξζ'. =A Ἦν δέ τις Παυσανίας[5] ὄνομα, ἀνὴρ πλούσιος, καὶ δύναμιν εἶχε περὶ ἑαυτὸν πολλὴν καὶ μέγεθος ὑπερβάλλον, Θεσσαλονικεύς. Οὗτος ἐπεθύμησεν Ὀλυμπιάδος καὶ ἔπεμψε λάθρα τοὺς δυναμένους πεῖσαι αὐτήν, ἵνα καὶ om. Gr. μεταγάγῃ τὴν Ὀλυμπιάδα καταλεῖψαι τὸν Φίλιππον καὶ αὐτῷ γαμηθῆναι. Τοῦτο δὲ οὐχ ὑπεδέξατο ἡ Ὀλυμπιάς. Καὶ ἐμελέτησεν ἐπιβουλίαν[6] Παυ- =A (Syr.) σανίας γνοὺς ἐπὶ πόλεμον πορευθέντα τὸν Ἀλέξανδρον καὶ ἀγῶνα γίγνεσθαι θυμελικὸν[7] καὶ Φίλιππον εἶναι σύναθλον.[8] =B Εἰσέρχεται ὁ Παυσανίας ξιφήρης εἰς τὸ θέατρον μετὰ ἄλλων γενναίων ἀνδρῶν ἀνελεῖν βουλόμενος τὸν Φίλιππον, ἵνα ἁρπάσῃ τὴν Ὀλυμπιάδα. καὶ πλήξας τῷ ξίφει κατὰ τὴν πλευρὰν Φιλίππου ἰσχυρῶς ἔπληξεν, ἀλλ' οὐκ ἀπέθανε. Καὶ γίγνεται θρύλλος μέγας ἐν τῷ θεάτρῳ, καὶ Παυσανίας ἔσπευσεν εἰς τὰ βασίλεια βουλόμενος ἁρπάσαι τὴν Ὀλυμπιάδα[9].

ξη'. Αὐτῇ δὲ τῇ ἡμέρᾳ νικήσας πόλεμον ὁ Ἀλέξανδρος ἐπανέρχεται εἰς τὴν πόλιν καὶ ὁρᾷ μεγίστην ταραχήν. καὶ ἐρωτήσαντι αὐτῷ, τίς ἐστιν ἡ αἰτία, εἶπον τὸ γεγονός, ὅτι Παυσανίας ἐν τῷ παλατίῳ ἐστὶ σὺν τῇ Ὀλυμπιάδι. Τότε τὴν θύραν ἔδωκε φυλάσσειν στρατιώταις[10] καὶ ὁρᾷ μεσολελαβηκότα =A

---

[1] A: Τῆς γῆς ὑμῶν ὑπὲρ Δαρείου. [2] Æ: δεδείχασι. [3] M: οὐ γὰρ ὁ θέλων τοὺς Ἕ. εἰς δουλείαν ὑποτάσσει. [4] l. զնա. [5] Æ: Παυσίανος. [6] l. զՀնարս st. զնա. [7] Æ umschreibt: ἀγ. ὀρχηστῶν [καὶ] πασῶν τῶν ᾠδῶν μουσικῶν. [8] Doch ist wohl Հանդիսադիր ἀγωνοθέτης zu lesen. [9] Hier und im nächsten Cp. erzählt A umständlicher. [10] Die Lesung ist hier unsicher.

A fügt noch hinzu: τὴν τῶν ὅπλων δύναμιν παραλείψας. Οἱ δὲ ἀσμένως ἐδίδοσαν φόρους τάλαντα ρ', στρατιώτας δισχιλίους

Im Griech. wendet sich Al. [illegible] [illegible] [illegible] (einem [illegible] an d. Gesandten, [illegible] [illegible].

Für B folgt dann die Einschaltung: A [illegible] [illegible] [illegible]: εἶτα λέγει αὐτοῖς· „Πορεύεσθε κτλ.
B hat dann [illegible] [illegible] οὐ δίκαιόν ἐστι κ.τ.λ. [illegible], [illegible] [illegible] d. [illegible] u. d. [illegible].

[illegible] Erzählung u. dann [illegible] Al., [illegible] d. Gesandten [illegible] [illegible] (BL) fehlt in A. [illegible]
V A fügt hinzu: ὁ δὲ παραγενόμενος λόγῳ ἔπεισε αὐτοὺς ὑπηκόους εἶναι τῇ τῶν ὅλων δυνάμ
ἀποταξάμενος καὶ λαβὼν παρ' αὐτῶν φόρους ἀνέστρεψεν.

B: τῆς δὲ Ὀλ. μὴ κατανευσάσης ἐλθὼν Π. ἔνθα ἦν Φ. γνοὺς τὸν Ἀλ. κτλ.

Die Erzählung [illegible] zu B, A ist ausführlicher.

καὶ εὐθέως εἰσέρχεται μεθ' ὧν ἐτύγχανεν ὑπερασπιστῶν αὐτοῦ καὶ συλλαμβάνει τὸν Π. κατέχοντα τὴν Ὀλ. μετὰ βίας μεγάλης κραυγάζουσαν (κραυγαζούσης τ. Ὀ. L) BL

fehlt sonst und paßt auch hier nicht in den Zusammenhang.

V ἀγαγόντες αὐτόν add. L

Θηβαίων καὶ Ἀθηναίων add. LC, L läßt Λακεδ. und Κορ. aus.

V hier stimmt Arm. zu A, Syr., hist. in der Erweiterung einer Rede Al.s an d. Veteranen.

× εἰς ἀβουλίαν ἔρχεται (ἕλκεται L) καὶ ἐξ ἅ τινα κινδυνεύει BL. εἰς ἀπροβλέπτους κακῶς ἐ. κτλ. A.
Γ λογιζόμενος τί ὁρμᾷ καθυστερῆσαι τῇ γνώμῃ μεταλλαγῆναι τοῦ κινδύνου A
λογισάμενος ἐπὶ τὸ ὁρμᾶν καθυστερεῖ τῇ γνώμῃ —— — — BL
—— — — — στερεῖ τὴν γνώμην ἀπαλλαγῆναι — —— C

M.
Ὀλυμπιάδα τὸν Παυσανίαν.[1] ἐκράτησε τὴν διβολίδα[2] καὶ ἠβουλήθη εἰς
αὐτὸν τοξεύειν. ἐφοβήθη δέ, μὴ καὶ τὴν μητέρα πατάξῃ. Εἶπε δὲ ἡ = Ιγ, Βι.
Ὀλυμπιάς· "Τόξευσον, παιδίον, τὴν λόγχην, ἐμοὶ γὰρ ὁ Ἄμμων βοηθεῖ"[3].
Καὶ Ἀλέξανδρος ἐτόξευσε καὶ πλήξας[4] ἀνεῖλε τὸν Παυσανίαν. Μαθὼν δὲ
τὸν πατέρα ἔτι ἔμπνουν ὄντα εἶπε· "Τί βούλει;" Ὁ δὲ λέγει· "Ἐνέγκατε Γπερὶ τοῦ Π. add. Gr.
αὐτὸν πρὸς ἐμέ." Καὶ λαβὼν μάχαιραν τίθησιν εἰς τὴν χεῖρα τοῦ πατρός.
καὶ κρατήσας τὴν μάχαιραν ἔσφαξε[5] τὸν Παυσανίαν.

Καὶ εἶπεν ὁ Φίλιππος· "Τέκνον, οὐ λυποῦμαι, ὅτι τελευτῶ[6], ἐξεδικήθην ξθ'. = B
γὰρ καὶ ἐγὼ αὐτὸς ἀνεῖλον τὸν ἐχθρόν μου. Καλῶς οὖν εἶπεν ὁ Ἄμμων ὁ λιβύης θεὸς add. Gr.
τῇ μητρί σου· ἔχεις ἐν τῇ γαστρὶ ἄρρενα παῖδα, ὅς σε ἐγκαρπώσει καὶ om. Gr.
τὸν θάνατον τοῦ πατρὸς ἐκδικήσει." Καὶ ταῦτα εἰπὼν ὁ Φίλιππος
εὐθέως ἀπέπνευσεν. Τοὺς δὲ ἄλλους ἐχθροὺς ὡσαύτως ἀνεῖλεν.[7] Ὁ δὲ om. Gr.
Φίλιππος ἐτάφη βασιλικῶς[8], καὶ αὐτὸν αἴρουσα θάπτει ἡ Ὀλυμπιάς. καὶ om. Gr.
ὅλη ἡ Μακεδονία συμπαθὴς γενομένη ὠδύροντο αὐτόν.

25. Μετὰ δὲ τὴν ἀναίρεσιν Παυσανίου εὐστάθειαν λαβούσης τῆς πόλεως, ο'. om. Gr.
ἔρχεται ὁ Ἀλέξανδρος ἐπὶ τὸν τοῦ πατρὸς αὐτοῦ Φιλίππου ἀνδριάντα καὶ
βοήσας μέγα εἶπεν· "Ὦ παῖδες Πελλαίων καὶ Μακεδόνων, Θετταλῶν καὶ om. Gr., Θρακῶν μετὰ τῶν B
Θρακῶν, Ἑλλήνων καὶ Ἀμφικτυόνων, Λακεδαιμονίων καὶ Κορινθίων καὶ
τῶν ἄλλων Ἑλληνικῶν ἐθνῶν, συνέλθετέ μοι, ἐμπιστεύσατε ὑμᾶς αὐτοὺς
Ἀλεξάνδρῳ. στρατευσόμεθα ἐπὶ τοὺς βαρβάρους καὶ ἑαυτοὺς ἐλευθερώσομεν
τῆς τῶν Περσῶν δουλείας, ἵνα μὴ Ἕλληνες τοῖς Πέρσαις δουλεύσωμεν."
Οὕτω φρονήσας[9] διάταγμα ἐπιστολῇ εἰς τὰς πόλεις ἔπεμψεν.

Συναθροισθέντες δὲ πάντες ἀκμάζοντες παρεγένοντο πάντες εἰς τὴν οα'.
Μακεδονίαν αὐθαίρετοι ὡς ὑπὸ θεοπέμπτου φωνῆς μετακληθέντες. Ἀλέξανδρος δὲ τὰς τοῦ πατρὸς ὁπλοθήκας ἀνοίξας ἔδωκε τοῖς νέοις τὴν πανοπλίαν καὶ ἤγαγε τοὺς ὑπερασπιστὰς Φιλίππου εἰς τὸν πόλεμον καίπερ om. Gr.
γηραιοὺς τυγχάνοντας. λέγουσιν οὗτοι Ἀλεξάνδρῳ· "Ἡμεῖς προέβημεν τῇ A.
ἡλικίᾳ συστρατευσάμενοι τῷ πατρί σου, οὐκέτι σθένος ἐστὶν ἐν τῷ σώματι
ἡμῶν πρὸς ἀντιπάλους. διὸ παραιτούμεθα τὴν ἐπὶ σοῦ στρατείαν."

Πρὸς τούτους ἀπεκρίθη ὁ Ἀλέξανδρος καὶ εἶπεν· "Ἀλλ' ἔτι μᾶλλον οβ'.
ὑμᾶς στρατεύσω, εἰ καὶ γηραλέοι τυγχάνετε. πολὺ γὰρ τὸ γῆρας ἰσχυρό- = A, συστρατεύσω μεθ'
τερον τῆς νεότητος εἴωθεν εἶναι. πολλάκις γὰρ ἡ νέα ἡλικία πεποιθυῖα B.
καὶ γαυριωμένη τῇ τοῦ σώματος δυνάμει ἐκτρέπεται, ὅποι βούλεται ὁρ- = A, ἀλκῇ B
μῶσα,× [καὶ] κάκιστα κινδυνεύει. Ὁ δὲ πρεσβύτης πρότερον λογισάμενος,Γ
ἐφ' ὃ ὁρμᾷ, ὑπερενίκησε τῇ γνώμῃ ἀπαλλαγεὶς τοῦ κινδύνου. Ὑμεῖς οὖν V πατέρες add. Gr.
συστρατεύσασθε ἡμῖν οὐχ ὡς ἀντιτασσόμενοι τοῖς πολεμίοις, ἀλλὰ προτρεπόμενοι τοὺς νέους γενναίως μάχεσθαι. ἀμφοτέρων γάρ ἐστι τὸ θάρσος[10]. stimmt [illegible] zu A
Λάβετε οὖν, ἐπισχύσατε ταῖς φρεσὶν ὑμῶν τὸ στρατόπεδον[11] πρὸς τὴν
μάχην γιγνώσκοντες, ὅτι ὑμῶν ἐστιν ἡ σωτηρία, οἳ ὑπὲρ τῆς πόλεως
νικῆσαι ἔδοτε. Ἡττηθέντων γὰρ [τῶν νέων] οἱ πολέμιοι ἐπὶ τὴν ἄχρηστον
ἡλικίαν ἐπελεύσονται. ἡ δὲ τῶν νικησάντων νίκη τὴν τῶν συμβουλευτῶν

---

[1] Æ zieht irrig τ. Π. zum Folgenden. [2] Æ: τὴν δίστομον λόγχην. [3] V: habeo enim praesidem Ammonem et protectorem. [4] Nach der Var. [6 Codd.]. Die Recepta: ἀπαντήσας. [5] l. եսպան. [6] Æ: τετελεύτηκα. [7] Dieser den Zusammenhang störende Satz fehlt sonst. [8] l. Թաղեալ եղև Թագաւորէն. [9] φωνήσας? [10] Man erwartet eher ἡ νίκη. [11] Das hier folgende πρόδηλον γάρ ἐστι ist m. E. zu tilgen.

I, 26. 29. 30. M.

γνώμην ἀναδείξει."[1] Οὕτως εἰπὼν Ἀλέξανδρος ἔπεισε καὶ τοὺς ὑπεργήρους ἀκολουθῆσαι.

= A, aber ογ´. mit Abweichungen = W

ογ´. Συναθροίσας[2] δὲ Ἀλέξανδρος τὴν προτέραν στρατιὰν Φιλίππου ἠρίθμησε 26. καὶ εὗρε Μακεδόνων πεζῶν μὲν μυριάδας δύο καὶ πενταχισχιλίους, ἱππέας ,ϐβ A. δὲ Μακεδόνας δισχιλίους καὶ ἑπτακοσίους, καὶ ἄλλους βοηθοὺς ὀκτακοσίους. συναριθμήσας δὲ σὺν οἷς μεθ' ἑαυτοῦ εἰλήφει εὗρε τὸ σύνολον μυριάδας ἑπτὰ καὶ τετρακισχιλίους καὶ ἑξακοσίους, καὶ[3] ταύτας δύο μυριάδας καὶ πενταχισχιλίους, καὶ βοηθοὺς ὀκτακισχιλίους καὶ ἑπτακοσίους. καὶ Θρᾷκας καὶ Περινθίους[4] καὶ Σκύθας, οἷς προδρόμοις ἐχρήσατο, ἑπτακισχιλίους καὶ ἑξακοσίους. Τούτους ὁπλίσας[5] σύμπαντας τοὺς παρόντας, μεθ' ὧν παρειλήφει, [εὗρε] μυριάδας ἑπτὰ καὶ [τετρακισ]χιλίους καὶ ἑξακοσίους. τούτους ὁπλίσας μεθ' ὧν καὶ αὐτὸς εἶχεν ἀπὸ τοῦ πατρὸς στρατιωτῶν, λαμβάνει παραγενόμενος εἰς Μακεδονίαν νόμισμα χρυσοῦ τάλαντα μυριάδας: τέσσαρας χίλια[6] ὀκτακόσια ἑξήκοντα, καὶ τριήρεις κατεσκευασμένας[7] καὶ λίβερνα.

Mp 26 A. = A αὐτοὺς A

οδ´. Καὶ διαπεράσας διὰ τῆς Μακεδονίας καὶ διὰ τοῦ Θερμώδοντος[8] ποταμοῦ 29. καὶ τῆς ὑπερκειμένης Θρᾴκης ὑπηκόου φύσει τυγχανούσης διὰ τὴν τοῦ Am. 8 patrὸς Φιλίππου δύναμιν, ἐκεῖθεν παρέλαβε τοὺς ἐπιλέκτους καὶ ἀργυρίου p. 31. τάλαντα πεντακόσια. καὶ ᾤχετο εἰς τὴν Λυκαονίαν. καὶ ἐκεῖ συνθύσας[9] τοῖς ἐκεῖ στρατηγοῖς διεπέρασεν εἰς τὴν Σικελίαν. καί τινας ἀπειθήσαντας αὐτῷ ὑπέταξε. καὶ διεπέρασεν εἰς τὴν Ἰταλικὴν χώραν.

om. A, habet BL

οε´. Οἱ δὲ τῶν Ῥωμαίων στρατηγοὶ πέμπουσι διὰ Μάρκου Αἰμιλίου στρατηγοῦ, ὃς εἶχε τὸν τοῦ Διὸς Καπετωλίνου στέφανον ἐκ χρυσοῦ καὶ μαργαριτῶν κατεσκευασμένον, λέγοντες· "Προσεπιστεφανοῦμέν σε κατ' ἔθος[10], Ἀλέξανδρε[11], χρυσῷ στεφάνῳ ὡς[12] λιτρῶν ἑκατόν." Ὁ δὲ ὑποδεξάμενος αὐτῶν τὴν εὐχαριστίαν ἐπηγγείλατο μεγάλους ποιεῖν αὐτοὺς τῇ δυνάμει. Λαμβάνει δὲ παρ' αὐτῶν στρατιώτας χιλίους[13] καὶ τάλαντα τετρακόσια. Ἔλεγον δὲ καὶ πλείονας δώσειν ἂν αὐτῷ στρατιώτας, εἰ μὴ πολεμεῖν προέκειτο τοῖς Καρχηδονίοις.

= A, om. BL

ος´. Κἀκεῖθεν διαπεράσας τὸ μεταξὺ πέλαγος παρεγένετο εἰς Ἀφρικήν. Οἱ 30. δὲ τῶν Ἀφρικῶν στρατηγοὶ ὑπήντησαν αὐτῷ καὶ ἱκέτευον αὐτὸν ἀποστῆσαι[14] τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀπὸ τῆς πόλεως. Ὁ δὲ τὴν ἄνοιαν αὐτῶν καταγνοὺς αὐτοῖς εἶπεν· "Ἢ κρείττονες γίνεσθε ἢ τοῖς κρείττοσι φόρους τελεῖτε."

= A, W, om. BL

οζ´. Καὶ τότε ἐκεῖθεν ἀναζεύξας μετ' ὀλίγων στρατιωτῶν[15] πᾶσαν τὴν Λιβύην ἐπάνω λείπων[16] εἰς τὸ Ἄμμωνος ἱερὸν παρεγένετο. καὶ τὸ στρατόπεδον ἐκέλευσε πλεῖν καὶ διαμένειν ἐν τῷ τόπῳ, ὃς καλεῖται Φάριτις νῆσος[17]. = A αὐτὸς δὲ προσκυνήσας τὸν Ἄμμωνα καὶ θύσας ὑπεμνήσθη τοὺς τῆς μητρὸς λόγους, ἣ ἔλεγεν αὐτὸν Ἄμμωνος εἶναι υἱόν. καὶ προσευχόμενος εἶπε· "Πάτερ, εἰ ἀληθεύει ἡ μήτηρ μου, ἐμὲ ἐκ σοῦ γεγενῆσθαι υἱόν, χρησμο-

= A, om. BL

---

[1] 'wird andeuten'. [2] So fährt auch A fort. [3] Im Folgenden verwirrende Wiederholungen, die wohl auf einer Verbindung verschiedener Relationen beruhen. [4] A: Παφλαγόνας. [5] ὡπλισμένους? [6] B: μυριάδας πέντε. A: τάλαντα ο´. [7] Viell. urspr. κατασκευάσας-ναυπηγήσας. [8] Nach A. Die Recepta: Μάγωνος. Varr. Mogon, Modon, Mog-Fluss in Thracien, Ermigos-Fluss. [9] A: συνθήσας. V: communi sacrificio. [10] A: κατ' ἔτος. [11] Var. [ἀντ. ἀμφιβ.] fügt hinzu: 'indem wir dich nicht nur wie einen König aufnehmen, sondern wie Zeus selbst.' [12] A: ὁλκῆς. [13] So A. VB: ,β. C: ,γ. [14] V. [15] AV. [16] M: ὑπερθέμενος. V: peragrat. [17] AV.

Den Anfang dieses Kap.s, in welchem BCL die [illegible] einer [illegible] [illegible] [illegible], läßt auch A aus.
dafür A [illegible]: Θρᾷκας καὶ Παφλαγόνας καὶ Σκύθας οἷς ἐχαρίσατο (ἐχρήσατο M.) προδρόμοις ω´, und
in Arm. [illegible] [illegible]; [illegible] [illegible] für [illegible]

Die capp. 27. 28 fehlen auch in A.

Λυκαονίαν A.

Γεμβαλλόμενος τὰ πλεῖστα πλήθη τῶν στρατοπέδων εἰς τὰς ναῦς add. BL

Γ εἰπὼν ταῦτα τὴν μὲν ἡμέραν ἐμετεώριζε, τὴν δὲ νύκτα ἐκοιμήθη καὶ εἶδεν κτλ. A.

* ὁ δὲ τοξότης τείνας (γεμήσας? BC) τὸ τόξον οὐκ ἐπέτυχε τῆς ἐλάφου LBC. —
ὁ δὲ ὀκνηρότερον τείνας τὸ τόξον καὶ τὸ βέλος τινάξας εἰς ἦχος (?) ἀφῆκε παρ' αὐτὸ
τῆς θηρὸς μὴ εὐστοχήσας A.
Γ L und C haben hier einen Zusatz, den B nur teilweise giebt, A [illegible].

δότησόν μοι.” Καὶ Γἐθεώρησε καθ' ὕπνον Ἀλέξανδρος τὸν Ἄμμωνα τῇ αὐτῆς A, om. BL
Ὀλυμπιάδι περιπεπλεγμένον. V Μαθὼν δὲ ἀληθῶς τὴν τοῦ θεοῦ ἐνέργειαν ἀνατείλας κτλ. A, [illegible]
κατασκευάσας κοσμεῖ τὸ τέμενος τῇ ἑαυτοῦ ἐπιγραφῇ· “Πατρὶ θεῷ Ἄμμωνι [illegible], BL [illegible]
υἱὸς Ἀλέξανδρος.” Ἠξίου δὲ χρησμὸν λαβεῖν παρ' αὐτοῦ, ποῦ τῆς ὀνο- = A
μασίας ἑαυτοῦ ἀείμνηστον πόλιν κτίσει. Καὶ πάλιν εἶδε καθ' ὕπνον τὸν = A
Ἄμμωνα λέγοντα αὐτῷ· Ὦ βασιλεῦ, σοὶ Φοῖβος ὁ μηλοκέρως[1] ἀγορεύω·
εἴγε θέλεις αἰῶσιν ἀγηράτοισι νεάζειν, κτίζε πόλιν περίφημον ὑπὲρ Πρω-
τηίδα[2] νῆσον, ἧς προκάθηται αἰὼν Πλουτώνιος αὐτὸς ἀνάσσων[3] πενταλόφοις
κορυφαῖς τὸν ἀτέρμονα κόσμον ἑλίσσων.

Τοῦτον λαβὼν τὸν χρησμὸν ὁ Ἀλέξανδρος ἀνεζήτει, ποίαν νῆσον δηλοῖ οη'.
τὴν Πρωτηίδα καὶ τίς προκαθέζεται θεός. Ὡς δὲ ἀνεζήτει, θύσας τῷ
πατρικῷ θεῷ Ἄμμωνι τὴν ὁδοιπορίαν ἐποιεῖτο ἐπί τινα κώμην τῆς Λι- om. Gr.
31, βύης[4], ἐν ᾗ τὰ στρατεύματα ἀνέπαυσεν. || Καὶ περιπατοῦντος τοῦ Ἀλε-
ξάνδρου, ἔλαφος μεγίστη εἴς τινα φωλεὸν ἐκρύβη. Ὁ δὲ Ἀλέξανδρος ἔδυσε B, ἐνέμετο A
ἐφώνησε πρὸς ἑαυτὸν τοξότην τινὰ καὶ ἐκέλευσε τοξεύειν εἰς τὴν ἔλαφον.
* καὶ τείνας τὸ τόξον καὶ τὸ βέλος τινάξας[5] οὐκ ἐπέτυχε τῆς ἐλάφου. Ὁ
δὲ Ἀλέξανδρος εἶπεν· “Ἄνερ, παράτονον γέγονέ σοι.” Ἔνθεν ὁ τόπος
ἐκεῖνος ἐκλήθη Παρατόνιον διὰ τὴν Ἀλεξάνδρου ἐκβόησιν.[6] Γ = L

Ἐκεῖθεν δὲ ὁδεύσας ἦλθεν εἰς Ταπόσιριν[7]. καὶ πυθόμενος μανθάνει οθ'.
παρὰ τῶν ἐγχωρίων τάφον Ὀσίρεως εἶναι τὸ ἱερόν. καὶ θύσας[8] τῷ θεῷ
ἀπεχώρησεν εἰς τὴν ὁδοιπορίαν. [Καὶ] παρεγένετο ἐπὶ τούτου τοῦ ἐδάφους[9] = A
καὶ εἶδε χώρημα μέγα ἄπειρον ὄν, [ὃ] ἐκτεῖνον δώδεκα[10] κώμαις κατεί-
χετο. ἦσαν δὲ κῶμαι Στέραμφις[-ης][11], Φρονήτητες[12] καὶ Ἔδμιτος[-ητος], Die Namen [illegible] in A [illegible] Bi
Ἄκονις[-ης], Ἐπιοῦργος, Τετρακῶτις[13], Ἔδιος [Ἥγιος], Ἄπαυνις[-ώνης],
Σκάμβετες,[14] Νεφέλητες, Μέμνης, Τίατες, Πέλασος. ἡ γὰρ Ῥακῶτις ἐπι-
σημοτέρα ἦν τῶν ἄλλων. ἦν γὰρ μητρόπολις. Αἱ δὲ δώδεκα[15] κῶμαι
εἶχον καὶ δώδεκα ποταμοὺς ἐξερευγομένους εἰς τὴν θάλασσαν. καὶ μέχρι
νῦν αἱ διεκδρομαὶ πεφραγμέναι εἰσίν. καὶ ἐχώσθησαν οἱ ποταμοὶ καὶ
ἀγυιαὶ[16] τῆς πόλεως καὶ πλατεῖαι [ἐγενήθησαν][17]. δύο δὲ μόνοι διαμένουσιν,
οἳ ἀποῤῥέουσιν εἰς τὴν θάλασσαν. Ἔστι[18] δὲ ὁ μὲν Ῥακωτικὸς ποταμός,
ὃς νῦν ῥεῖ [καὶ δρόμος] τοῦ μεγάλου Σαράπιδος θεοῦ τυγχάνει. εἶτα
διῶρυξ, ἡ μετηλλαγμένη ἐστὶν[19] εἰς τὴν [ἀγοραίαν] πλατεῖαν. καὶ μέγιστος
ποταμὸς καλούμενος Κουλέρας[20], νῦν Ἀσπε[ν]δία τυγχάνουσα. εἶτα διῶρυξ

---

[1] Man erwartet neben κέρατα κριοῦ, was der Text bietet, ἔχων. In πη'. ist ein Compositum gebildet. [2] Auffallend ist die Anm. d. Hrsgg., dass das eingesehene griech. Exemplar überall Πρόποντις gebe. [3] V scheint nicht nur μηνοκέρως gelesen zu haben [M], sondern auch: αὐτοῦ Πλούτωνος ἀνάσσων [quod Dite potentius ipso]. [4] V: apud vicum Astrata. [5] oder nur τοξεύσας. [6] M: εὐφώνησιν. A: ἐκνόησιν. [7] Alle grösseren arm. Hdss. Πόσιρις, eine Form, die auch in der von mir [syrisch und deutsch] herausgegebenen Schrift ‘*Petrus d. Iberer*’ [Leipzig 1895] S. 67, 18 urspr. stand. Die Hrsgg. haben nach dem Lat. Ταπόσιρις gesetzt. Vermutlich war jedoch — nach der folgenden Etymologie zu urteilen — Ταφόσιρις ursprünglich. [8] ABC: θ. τὴν ἄφιξιν. V: operatus . . deo. [9] M: ex quibus colligas Alexandriae haec scripta esse. [10] V: sedecim. [11] Bei A lauten die Namen mehrfach anders. [12] Die hier und in drei andern Fällen angehängte Endung ες soll nur andeuten, dass Æ die betr. Worte als Plurale aufgefasst hat. Ob diese Auffassung berechtigt war, oder ob sie durch Verkennung von τέ veranlasst wurde, steht dahin. [13] M verm. τε Ῥακῶτις. [14] 2 Codd. Ἀκάμβετες. [15] A: ις'. [16] w: στενωποί. [17] Aus A. [18] ℓ st. ℒ. [19] w: μεταλλάσσεται. [20] oder Χουλέρας.

αὐτοῦ, οὗ[1] ἐστι τὸ Τυχεῖον. καὶ μέγιστος ποταμός, ὃς Καυπονικός. καὶ ἔστι διῶρυξ μεγάλη καὶ ποταμὸς Νεφρώτης, ἃ νῦν Ἐκθέματά ἐστιν, οὗ[2] καὶ Ἰσεῖον ἱερὸν Νεφρώτης πρότερον ᾠκοδομημένον[3] τῆς Ἀλεξανδρείας. καὶ μέγιστος πάντων τῶν ποταμῶν ὁ καλούμενος Ἀργεῖος, οὗ τὸ Ἀργεῖόν ἐστιν. εἶτα διῶρυξ, [οὗ εἰσιν] Ἄρεως στῦλοι[4]. καὶ διώρυχες περὶ τὸν Κανωπεῖον ποταμόν, ὃς ἐκβάλλει[5] κατὰ τοῦ Ζεφυρίου, καὶ μέγιστος ποταμὸς τὸ Ἡρακλεῖον στόμα. ἀπὸ γὰρ τούτου τοῦ τόπου, ὃς καλεῖται Πάνδιτα, μέχρι τοῦ τόπου, ὃς καλεῖται Ἡρακλεωτικὸν στόμα, τὸ μῆκος τῆς πόλεως.

π'. Τότε Ἀλέξανδρος ἐχωρογράφησε καὶ τὸ πλάτος ἀπὸ Μενδιδείου[6] μέχρι τῆς μικρᾶς Ἑρμουπόλεως. ἀλλ' οὐκ ἐκάλουν Ἑρμούπολιν, ἀλλὰ Ἑρμάπολιν[7]. πᾶς γὰρ ὁ ἀπερχόμενος ἐκ τῆς Αἰγύπτου ἢ κατερχόμενος[8] ἐκεῖ προσώρμει. μέχρις ἐκείνου τοῦ τόπου ἐχωρογράφησε τὴν πόλιν Ἀλέξανδρος, ὅθεν καὶ Ἀλεξανδρέων ἡ χώρα καλεῖται.[9] Συνεβούλευσε δὲ αὐτῷ Κλεομένης ὁ Ναυκρατίτης καὶ Δεινοκράτης[10] ὁ Ῥόδιος· "Μὴ τοσαύτην τὴν πόλιν κτίζε. οὐ γὰρ εὑρήσεις αὐτὴν γεμίσαι ὄχλου. ἐὰν δὲ καὶ γεμίσῃς, οὐ δυνήσονται αἱ ἤπειροι[11] τὰ πρὸς χρείαν τῆς τροφῆς ἐπιτήδεια παρασχεῖν. πολεμήσουσι γὰρ ἑαυτοῖς οἱ ἐν τῇ πόλει κατοικοῦντες, ὡς τοσοῦτοι καὶ ἄπειροι τυγχάνοντες. Οἱ γὰρ μικρᾶς πόλεως ἄνθρωποι εὐχερεῖς πρὸς τὴν βουλὴν καὶ τὰ συμφέροντά εἰσιν. οἱ δὲ πολυπληθεῖς ἄνθρωποι ὡς ἐν τοσαύτῃ πόλει κατοικοῦντες ἀγνοοῦντες καὶ ἄγνωστοι ἀλλήλοις ὄντες ἀναιδεῖς γενόμενοι διχοστατήσουσι πρὸς ἀλλήλους ἀδικήσαντες διὰ τὸ ἄπειρον πλῆθος."

πα'. Πεισθεὶς δὲ ὁ Ἀλέξανδρος ἐκέλευσε τοὺς ἀρχιτέκτονας οἷς βούλονται μέτροις τὴν πόλιν κτίζειν. Οἱ δὲ ἐχωρογράφησαν τὸ μῆκος τῆς πόλεως ἀπὸ τοῦ Δρακοντίου τοῦ κατὰ τὸν Ταποσιριακὸν τάφον[12] μέχρι τοῦ Ἀγα[θο]δαίμονος τοῦ κατὰ Κάνωβον, ἀπὸ δὲ Μενδιδείου ἕως τῆς Εὐρυλόχου[13] καὶ Μελανθίου τὸ πλάτος. Καὶ κελεύει μεταβῆναι[14] τοὺς κατοικοῦντας καὶ εἰς τὰς κώμας ἀπιοῦσιν ἀπὸ μιλίων ὡς τριάκοντα τῆς πόλεως ἔξω χώρημα αὐτοῖς ἐχαρίσατο, προσαγορεύσας αὐτοὺς Ἀλεξανδρέας.

πβ'. Ἦσαν δὲ[15] ἀρχέφοδοι [?] τῶν κωμῶν Εὐ[ρ]ύλοχος καὶ Μελάνθιος, ὅθεν καὶ ἡ ὀνομασία ἔμεινεν. Σκέπτεται δὲ καὶ ἑτέρους[16] ἀρχιτέκτονας τῆς πόλεως (εὑρίσκειν), ἐν οἷς Κλεομένην Ναυκρατίτην καὶ Κρατερὸν Ὀλύνθιον καὶ Ἥρω[ν]α ὀνόματι Λιβυκὸν τὸ γένος, γέροντα. Οὗτος εἶχεν ἀδελφόν, οὗ ὄνομα ἦν Ὑπόνομος. οὗτος συνεβούλευσεν Ἀλεξάνδρῳ, πρὶν ὀρύξαι τὴν πόλιν ἐκ θεμελίων, ὀχετηγοὺς ποιεῖν ἐπὶ τὴν θάλασσαν ῥέοντας. Πεισθεὶς

Ἡρώας Bi

= A

A ξηροῦντας τὴν θάλασσαν

---

[1] l. ուր = dort, wo. Von Æ jedoch αὐτοῦ = ejus gefasst. [2] = wo. Von Æ jedoch = cujus gefasst. [3] A: πρωτόκτιστον. [4] Mit veränderter Interp. [5] Oder ist διῶρυξ-ἐκβάλλουσα zu lesen? — κατὰ τοῦ .. im Sinne von κατὰ τὸ .. wie auch πς'. [6] M: Βενδιδείου. A: Μενδίου. V verm. Μεσοδιδίου. [7] l. Ὁρμούπολιν. [8] M: κατερχόμενος — ἀνερχόμενος. [9] A: ἀναγράφεται. [10] Nach V. Æ: Διμοκράτης. [11] A: ἔμποροι. M: ὑπηρέται. [12] Richtig A: Ταφ. ταινίαν. [13] An dieser Stelle verschrieben, weiter unten jedoch erkennbar. [14] l. փոխել st. փորել. [15] Hier folgt bei Æ αὐτοῖς, was m. E. zu tilgen ist. Der Vf. will die Entstehung der Ortsbezeichnungen Eurylochos und Melanthios erklären und führt dafür an, dass E. und M. für die Dörfer, die den Grundstock von Alexandrien ausmachten, oder doch einige derselben, Bedeutung gehabt haben. Welche? Etwa als ἀρχίφυλοι? Mit ἀρχέφοδοι weiss ich nichts anzufangen. [16] Nämlich andere, als die schon erwähnten Kleomenes und Deinokrates. Daher sollte Kleomenes hier nicht aufgeführt sein.

sic L, Κλεομήδης B, Κρεομένης A. –
sic W, Ἑρμοκράτης C, Νομοκράτης L, Λυσοκράτης Bi

[illegible] für ἔμπειροι – Δημητ. Bi v. 1329.

ἐὰν δὲ οὕτως ὡς διεγράψω μεγίστην αὐτὴν (διὰ τὴν μεγίστην ταύτην B) κτίσῃς, οἱ
κατοικοῦντες ἐν αὐτῇ (om. B) διχοστατήσουσιν (διαναστήσουσιν B) εἰς ἀλλήλους διαφθειρόμενοι
(μαχόμενοι B) ἀπείρου ὄχλου τυγχάνοντος ABCL.

ταινίαν A, τενέαν BCL

ἀρχαίποδες L, ἀρχέφοδοι A, Ἀρχιπόδες B, ἀρχιτέκτονες C, ἀρχίποδες Bi,
LBC: Νουμήνιος ὑδατικὸς λατόμος, Κλεομένης (Κλεομήδης B) μηχανικὸς Ναυκρατίτης καὶ
Καρτερὸς Ὀλύνθιος – A: Κλεομένην τὸν Ναυκρατίτην, καὶ Κρατὸν Ὀλύνθιον καὶ
A Ἥρωνα λιβυκόντα, ὃς εἶχε ἀδελφὸν ὀνόματι Ὑπόνομον.

× A ist hier korrupt u. kann nach Arm. verbessert werden.

ᵛ ἀρχιτέκτονες om. A, 7V, ἀρχιτεχνῖται BC, τεχνῖται L

A: τὴν δὲ περὶ αὐτὸν τρεπομένην δράκων σύνηθες παραγενόμενος ἐξεφόβει τοὺς ἐργαζομένους. καὶ ἐκκοπὴν ἐποιοῦντο τοῦ ἔργου διὰ τὴν τοῦ ζώου ἐπέλευσιν. Μετεδόθη δὲ τῷ Ἀλ. τοῦτο. ὁ δὲ ἐκέλευσε τῇ ἐπερχομένῃ ἡμέρᾳ ὅπου ἂν καταληφθῇ χειρώσασθαι, ἔνθα εἰργάζοντο. καὶ δὴ λαβόντες ἐπιτροπὴν παραγενομένου τοῦ θηρὸς κατὰ τῆς νῦν καλουμένης Στοᾶς τούτου περιεγένοντο καὶ ἀνεῖλον. Ἐκέλευσε δὲ ὁ Ἀλ. ἐκεῖ τὸ τέμενος γενέσθαι καὶ θάψας κατέθετο. καὶ πλησίον ἐκέλευσε στεφάνους τίθεσθαι εἰς μνήμην τοῦ ὀφθέντος ἀγαθοῦ δαίμονος. Ἐκέλευσε δὲ μηδαμοῦ

δὲ ὁ βασιλεὺς ἐκέλευσε ποιεῖν, ὅπερ[1] οὐδεμία ἑτέρα πόλις ἔχει, καὶ καλοῦνται ὑπόνομοι διὰ τὸ τὸν ὑποδείξαντα Λιβυκὸν Ὑπόνομον καλεῖσθαι. = A

c. 31 Anm. 45, p. 34. Οὐ μέντοι ἑτέρα πόλις ἐστὶ μείζων Ἀλεξανδρείας. Πᾶσαι γὰρ χωρογραφηθεῖσαι ἐμετρήθησαν. Ἡ δὲ μεγίστη πόλις ἐν Συρίᾳ Ἀντιόχειά ἐστίν, ἡ ὀκτὼ σταδίων καὶ ποδῶν ἑβδομήκοντα δύο ἐστίν. ἡ δὲ ἐν Ἀφρικῇ Καρταγίνη[2] σταδίων εἴκοσι καὶ ἑνὸς[3] καὶ ποδῶν τριακοσίων καὶ πέντε.[4] πγ'. = A. A:16, 7V:10⅟₇

Παραγενόμενος δὲ Ἀλέξανδρος[5] εἰς τοῦτο τὸ ἔδαφος, εὗρε τοὺς ποταμοὺς [καὶ][6] τὰς διώρυχας καὶ τὰς κώμας συνεστώσας[7]. θεασάμενος δὲ νῆσόν τινα ἐπὶ τῆς θαλάσσης εἶπε· "Τίς ἐστιν ἡ νῆσος." Οἱ δὲ ἐγχώριοι εἶπον·ˣ "Αὕτη Φάρος καλεῖται. ὁ δὲ Πρωτεὺς ἐν ταύτῃ κατῴκησε. καὶ τὸ μνῆμα τοῦ Πρωτέως ἐστὶ παρ' ἡμῖν θρησκείας ἀξιωθέν." Ἐπὶ ὄρους[8] τινὸς ὑψηλοῦ (ἐλθόντες) ἤνεγκαν αὐτὸν εἰς[9] τὸ νῦν καλούμενον ἡρῷον καὶ ἐπέδειξαν αὐτῷ τὴν λάρνακα. Θύσας δὲ ἐκεῖ τῷ ἥρωι Πρωτεῖ[10] καὶ ἰδὼν ἀπὸ τοῦ πολλοῦ χρόνου[11] καταπεπτωκὸς τὸ μνῆμα ἐκέλευσε ταχέως ἀνορθῶσαι. πδ'. = A ὡς καλεῖ τὴν νῆσον A

32. Χωρογραφῆσαι καὶ τὸ περίμετρον τῆς πόλεως ἐκέλευσεν. Οἱ δὲ ᵛἄλευρον ἔλαβον [καὶ] περιέγραψαν τὸν χῶρον. Κατὰ πάντα[12] δὲ ὄρνεα παντοδαπὰ ἦραν τὸ ἄλευρον καὶ ἀνέπτησαν. καὶ κακοπαθῶν[13] Ἀλέξανδρος, τί ἄρα εἴη τὸ σημεῖον, μετεπέμψατο σημειολύτας καὶ εἶπεν αὐτοῖς τὸ γεγονός. Οἱ δὲ λέγουσιν· "Ἡ πόλις αὕτη, ἣ ἐκτίσθη, ὅλην τὴν οἰκουμένην θρέψει. καὶ πανταχοῦ ἔσονται οἱ ἐν αὐτῇ γεννηθέντες ἄνθρωποι. τὰ γὰρ[14] πετεινὰ πᾶσαν τὴν οἰκουμένην περικυκλοῦσιν." πε'. = L

Ἤρξαντο[15] δὲ οἰκοδομεῖν τὴν πόλιν Ἀλεξάνδρειαν ἀπὸ μέσου πεδίου. καὶ ἔλαβεν ὁ τόπος τὴν προσωνυμίαν[16] διὰ τὸ ἐκεῖθεν ἄρξασθαι τὴν πόλιν οἰκοδομεῖσθαι.[17] Τοῖς δὲ τῷ ἔργῳ σχολάζουσι δράκων τις εἰώθει παραγίγνεσθαι καὶ ἐκφοβεῖν τοὺς ἐργαζομένους καὶ ἐκκοπὴν ποιεῖσθαι τοῦ ἔργου. Διὰ τὴν τοῦ ζώου ἐπίλυσιν[18] ἦλθεν Ἀλέξανδρος καὶ εἶπεν, ἵνα τῇ ἐπερχομένῃ ἡμέρᾳ[19], ὅπου ἂν καταληφθῇ, χειρωθῇ ὑπὸ τῶν ἐργαζομένων. Καὶ λαβόντες τὴν ἐπιτροπὴν παραγενομένου τοῦ θηρὸς κατὰ τῆς νῦν καλουμένης Στοᾶς[20], ἐκεῖ περιγενόμενοι ἀνεῖλον τὸ ζῶον. Ἐκέλευσε δὲ ὁ Ἀλέξανδρος ἐκεῖ αὐτῷ τέμενος οἰκοδομεῖν. Καὶ θάψαντες κατέθεντο ἐκεῖ τὸν δράκοντα. Καὶ ἐκέλευσεν Ἀλέξανδρος στεφάνους παντοδαποὺς κατασκευάζεσθαι εἰς μνήμην τοῦ φανέντος ὄφεως[21]. Ἐκέλευσε δὲ μὴ πς'. = A ἔσχε ... ἔχει νῦν A ἀλλαχοῦ βάλλεσθαι[1] τὴν ὀρυγὴν τῶν θεμελίων εἰ μὴ εἰς ἕνα τόπον, ὅς ἐστιν ἕως ἄρτι ὄρος μέγα[2] φαινόμενος, ὃ καλεῖται Κοπρία[3]·

---

[1] Nach V: quibus haud facile capaciores urbs ulla habeat — wäre eher ὅσους zu erwarten. [2] A: Καρχηδών. [3] A: ις'. V: decem! [4] A: μ' st. τε'. Die Angaben über den Umfang von Babylon, Rom und Alexandrien [AV] fehlen, wohl infolge zufälliger Auslassung. [5] So gebe ich nach A. Æ hat: Π. δ. εἰς τὴν Ἀλεξάνδρειαν ἰδίαν [propriam, proprie dictam oder auch καθ' ἑαυτόν], was eine unpassende Änderung darstellt, da es ein Alexandrien bei Alexanders Ankunft noch nicht gab. [6] A. [7] κατασταθείσας. [8] A: θρόνου. [9] Nach Var. յայդ. Ebenda l. դիւցազին [μνῆμα ἥρωος]. [10] A: ἱπποτεύει. [11] A: χρυσοῦ. [12] Im Sinne von πάντῃ gefasst. M: καταπτάντα. [13] Æ hat verm. συμφοράζων gelesen und dies = κακοπαθῶν gefasst. [14] l. քանզի st. քան զ.. [15] AV. [16] Æ: τὴν τῆς ὀνομασίας ἀρχήν. Æ hat viell. πρωτωνυμίαν gelesen. [17] V: Mesopondion st. Mesopedion. [18] A: ἐπέλευσιν. [19] Æ: αὔριον. [20] Æ: Στέγης — wohl durch Verlesung. [21] Von ἀγαθοῦ δαίμονος [A] ist nichts vorhanden.

Nb. l. [illegible]

= A πζ'. Θεμελιώσας δὲ τὰ πλεῖστα μέρη τῆς πόλεως ἐπέγραψε γράμματα πέντε· Α, Β, Γ, Δ, Ε. τὸ μὲν Α Ἀλέξανδρος, τὸ δὲ Β μέγιστος[4] βασιλεύς, τὸ δὲ Γ ὑψηλότατος[5] τῶν ἐθνῶν[6], τὸ δὲ Δ ἀντὶ[7] Διός, τὸ δὲ Ε κατέβη[8] καὶ ἔκτισε πόλιν ἀμίμητον[9].× Ὑποζύγια[10] δὲ καὶ ἡμίονοι εἰργάζοντο ἐκεῖ. Ἱδρυμένου δὲ τοῦ πυλῶνος τοῦ ἡρῴου[11] τούτου, ἀναστήσας ἔθηκεν αὐτὸν ἐπὶ ἐπιστύλιον.[12] καὶ ἐξῆλθον ἐξ αὐτοῦ πολλοὶ ὄφεις καὶ ἑρπύζοντες εἰσῆλθον εἰς τὰς εἰσόδους τὰς τῶν ἤδη γενομένων οἰκιῶν. τὴν πόλιν γὰρ ἔτι παρὼν Ἀλέξανδρος καθίδρυσεν ἐν τύβι τῇ εἰκοστῇ καὶ πέμπτῃ καὶ αὐτὸ τὸ ἱερὸν τοῦ ὄφεως. ὅθεν τοὺς ὄφεις τούτους σέβονται οἱ θυρωροὶ ὡς ἀγαθοὺς δαίμονας εἰσιόντας εἰς τὰς οἰκίας. οὐ γάρ εἰσιν ἰοβόλα ζῶα, ἀλλὰ τὰ ἰοβόλα ζῶα ἀπελαύνουσι. Καὶ θυσίαι τελοῦνται αὐτῷ ὡς ὀφιογενεῖ.[13] Στεφανοῦσι δὲ καὶ πάντα τὰ κτήνη ἀνάπαυσιν αὐτοῖς παρέχοντες ἐν ἡμέρᾳ ταύτῃ διὰ τὸ συνεργῆσαι ἀχθοφοροῦντα εἰς τὴν καθίδρυσιν τῆς μεγαλοπρεποῦς πόλεως. Ἐκέλευσε δὲ ὁ βασιλεὺς τοῖς φύλαξι[14] σῖτον δοθῆναι. καὶ ἀλήσαντες τὰ σῖτα καὶ ἀθηροποιησάμενοι ἔδωκαν τοῖς ἐνοικοῦσιν ὡς εἰς τερπνὴν ἀπόλαυσιν. ὅθεν μέχρι τοῦ δεῦρο οὗτος ὁ νόμος φυλάσσεται παρὰ τοῖς Ἀλεξανδρεῦσιν ἐν τύβι τῇ πέμπτῃ καὶ εἰκάδι τὰ κτήνη πάντα στεφανοῦν καὶ θύειν τῷ ἥρωι[15] καὶ θρησκείαν φέρειν τοῖς ὄφεσι τοῖς προνοουμένοις τῶν οἰκιῶν καὶ διάδοσιν ἀθηρῶν ποιεῖσθαι.

om. Gr.

γένος Gr.

= L

om. Gr.

ἓν add. A

om. Gr.

ἐνδοκοῦντα εἶναι add. A

om. A

τοὺς ἀγαθοὺς δαίμονας

= A πη'. Εὑρὼν δὲ ἐπὶ πέντε ὑψηλοτάτοις λόφοις τὴν γῆν, ἥ ἐστι τοῦ ἡλίου καὶ Ἡλίωνος[16] στῦλοι, καὶ[17] τὸ ἡρῷον, ἐζήτει καὶ τὸ Σαραπεῖον ἱερὸν κατὰ τὸν χρησμὸν τὸν δοθέντα αὐτῷ ὑπὸ τοῦ Ἄμμωνος καὶ τὸν πάντων δυναμικώτατον θεόν. Εἶπε γὰρ οὕτως ὁ χρησμὸς ὁ παρὰ τοῦ θεοῦ[18]· Ὦ βασιλεῦ, σοὶ Φοῖβος[19] ὁ μηλοκέρως ἀγορεύω· εἰ ἐθέλεις εἰς αἰῶνα ἀγήρατος διαμένειν, κτίζε πόλιν περίφημον ὑπὲρ[20] Πρωτηΐδα νῆσον, ἧς προκάθηται Πλουτώνιος πενταλόφοις κορυφαῖς τὸν ἀτέρμονα κόσμον ἑλίσσων. Καὶ ἐζήτει τὸν πάντα δερκόμενον[21] θεόν. 33.

cf. Bi 1394.

= A πθ'. Καὶ δὴ ποιήσας ἀντικρὺς τοῦ ἡρῴου βωμὸν μέγιστον, ὃν καὶ μέχρι τοῦ νῦν καλοῦσι βωμὸν Ἀλεξάνδρου, καὶ ἐκεῖ πολυτελῆ θυσίαν προσενεγκὼν καὶ προσευξάμενος εἶπεν· "Ὅστις ποτέ που τυγχάνεις θεός, ὃς προνοεῖ ταύτης τῆς γῆς καὶ τὸν ἀτέρμονα κόσμον ἐπιδέρκῃ[22], παράδεξαι τὴν θυσίαν μου καὶ βοηθὸς γενοῦ μοι εἰς τοὺς πολέμους." Καὶ ταῦτα εἰπὼν ἔθηκεν ἐπὶ τοῦ βωμοῦ τὸ ἱερεῖον. Αἰφνιδίως δὲ μέγιστος ἀετὸς καταπτὰς ἥρπασε τὰ σπλάγχνα τοῦ θύματος καὶ εἰς τοὺς ἀέρας (ἱπτάμενος) ἐφέρετο

---

[1] l. արկանել st. առնել. [2] A: μεταφαινόμενος. [3] Æ bietet zwar աղբիւրք = πηγαί; doch stehen աղբիւրք und աղբեւք κοπρίαι sich lautlich so nahe, dass eine Vertauschung leicht möglich war. [4] Armenisiert: bardsraguin = μέγιστος. [5] geraguin. [6] oder γενῶν. Viell. urspr. ազգաւ ὑψηλότατος τὸ γένος. [7] der. [8] êdsch. [9] w: 'die ihres gleichen nicht hat'. A: ἀείμνηστον. [10] w: ὄνοι. [11] Æ: τοῦ ἥρωος — wohl Verlesung. [12] genau: κεφαλίδα capitellum. [13] A: αὐτῷ τῷ ἥρωι — verständlicher [դիւցազին st. վիշապազին]. [14] A: τ. φ. τῶν οἴκων. [15] w: θεογενεῖ. V: templum herois scandere. [16] So hat Æ gelesen oder gedeutet. [17] M vermutet [nach V: exadversim Herois locum] κατά. [18] Æ: θεῶν. [19] l. փիւբոս st. mit գ. [20] Fehlt. [21] M: δεχόμενον. [22] Merkwürdig die Vertauschung von ἑλίσσειν mit ἐπιδέρκεσθαι.

ἀλλαχοῦ βάλλεσθαι τὴν ὀρυγὴν τῶν θεμελίων εἰ μὴ εἰς ἕνα τόπον · καὶ ἐστὶν ἕως ἄρτι ὄρος μεταφαινόμενος, ὃ καλεῖται Κοπρία

× ἀείμνηστον A, Ἄμμωνι ἀμίμητον C, ἀμίμητον ~~καὶ~~ ἢ Ἄμμωνι B, Ἄμμων θεός B¹.

ἐξεπήδησεν πολλὴ ὕλη καὶ ἑλκύσαντες εἰσέδραμον εἰς τὰς οἰκίας τὰς ἤδη γενομένας δ'. A
ἐξαίφνης πλὰξ μεγίστη ἐξέπεσεν ἀρχαιοτάτη πλήρης γραμμάτων, ἐξ ἧς (καὶ add. L) ἐξῆλθον ὄφεις πολλοί, καὶ ἑρπύζοντες εἰσῆλθον εἰς τὰς ὁδοὺς τῶν ἤδη τεθεμελιωμένων οἰκιῶν. BCL

θάλλους A

καὶ ἀφῆκεν ἐπὶ ἑτέρου βωμοῦ. οἱ δὲ κατάσκοποι ἐσήμηναν τὸν τόπον τῷ = A
βασιλεῖ. Καὶ παραγενόμενος ἐν τάχει εἶδε τὰ σπλάγχνα κείμενα ἐπὶ
βωμοῦ καὶ βωμὸν ἐν ἀρχαίοις χρόνοις καθιδρυθέντα καὶ ξόανον χαλκοῦν
ἔνδον ἑζόμενον, οὗ τὴν φύσιν[1] θνητὴν[2] οὐχ εὗρεν ἀπαγγεῖλαι. Παρειστήκει
δὲ τῷ ἀφθάρτῳ[3] ξοάνῳ κόρης ἄγαλμα μέγιστον.

Καὶ ἐπυνθάνετο[4] παρὰ τῶν ἐνταῦθα κατοικούντων, τίς ὁ θεὸς τυγχάνει. ϙʹ. = A
Οἱ δὲ λέγουσιν οὐκ εἰδέναι, ἐκ δὲ τῆς τῶν προπατέρων διηγήσεως παρειληφέναι
Διὸς καὶ Ἥρας[5] εἶναι ἱερὸν ἔφασαν. Ἐν ᾧ καὶ τοὺς ὀβελίσκους
ἐθεάσατο τοὺς μέχρι τοῦ νῦν κειμένους ἐν τῷ Σαραπείῳ ἔξω τοῦ περιβόλου
τοῦ νῦν γενομένου ἐν τῷ Σαραπείῳ, ἐν οἷς ἦν κεχαραγμένα γράμματα
ἱερατικὰ (θεῖα), καὶ τὸ θαῦμα[6] ταύτης τῆς πόλεως. Ὁ δὲ Ἀλέξανδρος
ἐπύθετο, τί[7] οἱ ὀβελίσκοι εἰσίν. Οἱ δὲ λέγουσι· "Βασιλέως κοσμοκράτορος
Σεσογχώσεως." Καὶ κεῖται αὕτη ἡ ὑπογραφὴ ἱερατικοῖς γράμμασι καὶ ἐπι- om. A
ἡρμηνεύθη τῷ βασιλεῖ οὕτως· "Βασιλεὺς Αἰγύπτιος Σεσόγχωσις κοσμοκράτωρ τῷ προφανῆ A
τῷ προφανεῖ τοῦ κόσμου θεῷ Σαράπιδι ἀνατέθεικα." ἀνέθηκε A

Ἀποβλέψας δὲ εἰς τὸν θεὸν εἶπεν ὁ Ἀλέξανδρος· "Μέγιστε Σάραπι, εἰ ϙαʹ.
σὺ τυγχάνεις τοῦ κόσμου θεός, δήλωσόν μοι." Ἐφάνη δὲ αὐτῷ ἐν ὕπνῳ
σαφῶς ὁ Σάραπις καὶ εἶπεν· "Ἀλέξανδρε, ἐξελάθου, τί εἶπες[8], ὅτε τὴν
θυσίαν ποιῶν προσεύξω; Οὐ σὺ εἶπες· Ὅστις ποτὲ τυγχάνεις προνοούμενος
ταύτης τῆς γῆς καὶ τὸν ἀτέρμονα κόσμον ἐπιδερκόμενος, παράδεξαι
τὴν θυσίαν ταύτην καὶ βοηθός μοι γενοῦ εἰς τοὺς πολέμους; καὶ αἰφνιδίως
ἀετὸς κατέπτα καὶ τὰ σπλάγχνα ἔθηκεν ἐπὶ τοῦ βωμοῦ; Οὐκ ἦν
σοι γνωστόν, ὅτι ἐγώ εἰμι ὁ πάντων προνοούμενος θεός;"

Τοῦ δὲ κατ' ὄνειρον[9] παρακαλοῦντος τὸν θεὸν καὶ λέγοντος· "Εἰ διαμενεῖ ϙβʹ
ἡ πόλις αὕτη βεβαία εἰς τὸ ὄνομα, εἰς ὃ ἐκτίσθη, Ἀλεξάνδρου, εἴτε
om. A μὴ μεταβληθήσεται τὸ ὄνομά μου εἰς ἑτέρου βασιλέως ὀνομασίαν, μήνυσόν
μοι." Ὁρᾷ δὲ τὸν θεὸν κρατοῦντα αὐτὸν τῆς χειρὸς καὶ φέροντα πρὸς
ὄρος τι μέγιστον καὶ λέγοντα οὕτως· "Ἀλέξανδρε, δύνασαι μεταθεῖναι τὸ
ὄρος τοῦτο εἰς ἕτερον μέρος;" Ὑπενόησε καὶ εἶπε· "Ποῦ[10] δύναμαι, οὐ A
δέσποτα;" Καὶ εἶπεν αὐτῷ ὁ θεός· "Οὕτως οὐδὲ τὸ σὸν ὄνομα δύναταί
ποτε εἰς ἑτέρου[11] βασιλέως ὀνομασίαν μεταβληθῆναι, ἀλλὰ αὐξηθήσεται
ἀγαθοῖς Ἀλεξάνδρεια, βοηθὸς καὶ ἀλεξίκακος οὖσα ταῖς προγενεστέραις αὔξανε τὰς πρ. π.
αὐτῆς πόλεσιν."

Τούτῳ εἶπεν ὁ Ἀλέξανδρος· "Δέσποτα, καὶ τοῦτο ἔτι δήλωσόν μοι, ϙγʹ.
πῶς[12] μέλλω μεταλλάσσειν τὸν βίον." Ὁ δὲ εἶπεν· ""Αλυπόν ἐστι καὶ

---

[1] V: materiam. [2] Möglich wäre auch θνητός [V: homini non virium est]. Doch wäre d. Ausdr. 'kein Sterblicher' für 'niemand' seltsam. Viell. wollte d. Vf. sagen: 'ein Götterbild von so eigenartiger Gestalt, dass Alex. innerhalb des ganzen Kreises der sterblichen Wesen nicht seines gleichen fand.' [3] Ob etwa ἀφάτῳ ursprünglich? [4] l. եհարց mit Tilgung von ուսանէր und stelle ո̊ um. [5] Anahit [Aphrodite] — hier [und σεʹ.] für Hera gebr., wie die Griechen u. V haben. In σνγʹ. ist dagegen Hera durch Հերա wiedergegeben. [6] oder τέρας? Der Vf. will wohl sagen, dass die Obelisken für die Stadt ein hervorragendes Wunderwerk bildeten. [7] Nach der Antw. wäre τίνος zu erwarten, was viell. auch in τίνες von A steckt. [8] τ. ἑ. sind — wohl durch Zufall — ausgefallen. [9] A: κατὰ τοὺς Ὁμήρους [!]. [10] A: οὐ. [11] l. այլոյ st. —ոց. [12] A: πότε καὶ πῶς.

=A

καλὸν καὶ τίμιον θνητὸν ὄντα[1] μὴ προειδέναι, τί ἂν ᾖ τὸ τέρμα τῆς τελευτῆς τοῦ βίου αὐτοῦ. οἱ γὰρ ἄνθρωποι ἐννοοῦσιν[2] ἐν φρεσὶν αὐτῶν ἀθάνατον εἶναι τὸν βίον τὸν[3] ποικίλον, ὅταν ἔχωσιν ἄγνοιαν τῶν συμφορῶν. Τὸ δ' αὐτὸ τοῦτο καὶ σοὶ κάλλιστον δοκεῖ, τὸ μέλλον ἐπὶ σὲ μὴ εἰδέναι, φίλε. Ἐπεὶ δ' ἐρωτᾷς ἐκμαθεῖν θέλων σοι τὸ μέλλον ἐπὶ σέ, τούτῳ πείσω σε εὐθέως. Σὺ γὰρ ταγαῖσι ταῖς ἐμαῖς[4] νέος τὸν νοῦν[5] τὰ φῦλα πάντα καθυποτάξεις βαρβάρων, καὶ τότε ἥξεις πρὸς ἐμὲ θανὼν καὶ μὴ θανών. Νῦν ἣν κτίζεις ἐν μέσῳ τῆς γῆς πόλιν Ἀλεξάνδρειαν[6] ποθητὴν κόσμου, κόσμον ἔνθεον, πλείστων καιρῶν[7] καὶ χρόνων προβαινόντων καὐτὴ προβήσεται ἀγαθοῖς, κοσμουμένη ναοῖς πολλοῖς καὶ τεμένεσι ποικίλοις καὶ κάλλει καὶ μεγέθει καὶ τῶν ἀνθρώπων πολυπληθείᾳ[8] πλεονάσασα[9]. Καὶ πᾶς ἐς αὐτὴν κατελεύσεται μένειν, τῆς πρὶν τεκούσης ἐκλελησμένος γύης. Ἐγὼ δὲ ταύτης προστάτης γενήσομαι θεός, ἐν πᾶσι τοῖς αἰῶσι προκαθίσας, ἀμάραντος καὶ ἀγήρατος, τὴν γῆν ἑδραιώσας[10] καὶ πόλιν τάξας ταύτην μένειν εἰς ἀεὶ βεβαίαν, τὸν βυθὸν ἁπλώσας καὶ τὸ πῦρ γνωρίσας[11] καὶ τὸν νότον θαμβήσας[12], ὥστε μὴ[13] πνεῖν πνεῦμα δυσχερές, ὅπως τὰ χαλεπὰ τῶν πονηρῶν δαιμόνων μηδὲν δυνηθῇ πρᾶξαι πρὸς τὴν πόλιν. σεισμὸς γὰρ ἔχει[14] πρὸς ὀλίγον καὶ λοιμὸς ὁμοῦ καὶ λιμός. ὡσαύτως πόλεμος, ἀλλ' οὐ βαρὺς φόνῳ[15], ἀλλ' ὡς ὄνειρος διαδραμεῖται τὴν πόλιν. Πολλοὶ δὲ βασιλεῖς κόσμου[16] διὰ βίου σε πάντοτε καθὼς θεὸν γεγονότα προσκυνήσουσι. Σὺ δ' ἀποθεωθεὶς προσκυνηθήσῃ θανὼν [[17]καὶ ἔστιν αὐτοῖς ἐπὶ τῆς ἀγορᾶς πλῆθος ἀνθρώπων καὶ ἀέρων εὐκρασίᾳ ὑπερβάλλον. Ἐγὼ δὲ ταύτης προστάτης καὶ ὑπερασπιστὴς ἔσομαι, ὅπως μὴ χαλεπόν τι τελέως ἐπιμείνῃ, ἢ νόσος τις θανατηφόρος ἢ σεισμός, ἀλλ' ὡς ὄνειρος περιβῇ περὶ τὴν πόλιν. Πολλοὶ δὲ βασιλεῖς ἥξουσιν εἰς αὐτὴν οὐ πολεμεῖν, ἀλλὰ προσκυνεῖν σε ὡς ἀποθεωθέντα καὶ προσκυνηθέντα. νεκρὸς] καὶ δῶρα λήψῃ παρὰ βασιλέων πάντοτε. οἰκήσεις αὐτὴν θανὼν καὶ μὴ θανών. ἡ γὰρ πόλις αὕτη, ἣν κτίζεις, τάφος ἔσται σοι. πείσω δέ σε εὐθέως, τίς πέφυκα[18]. Δὶς ἑκατόν, οὕτως ἔτι τὴν μίαν ψῆφον σύνθες, εἶθ' ἑκατὸν καὶ μίαν, καὶ τετράκις εἴκοσι καὶ δέκα καὶ τὸ πρῶτον γράμμα λαβὼν ποίησον ἔσχατον — καὶ τότε[19] νόησον[20], τίς πέφυκα θεός." Καὶ ὁ θεὸς χρηματίσας ὡς ἑαυτὸν[21] ἀπεχώρησεν.

=A ϙδ'. Ὁ δὲ Ἀλέξανδρος διεγερθεὶς καὶ ὑπομνησθεὶς τὸν χρησμὸν τὸν ὑπὸ τοῦ θεοῦ[22] γενόμενον αὐτῷ ἐπέγνω δεσπότην πάντων τὸν μέγαν Σάραπιν. Βωμὸν δὲ μέγαν ἱδρυσάμενος ἱερά τε ἄξια τῷ θεῷ[22] ἐκέλευσε κομίζεσθαι καὶ ἀποσφάξαντας θεῖναι ἐκέλευσε ἐπὶ τοῦ βωμοῦ, λιβάνου δὲ πλῆθος θυμιᾶν καὶ πολύτιμα ἀρώματα σωρηδὸν ἐπιβάλλειν ἐπὶ τοῦ βωμοῦ ἐκέλευσε καὶ εὐωχεῖσθαι πάντας. Παρμενίωνα δὲ ἀρχιτέκτονα ἐκέλευσε ξόανον

ἀναπολίσας A

---

[1] ’ի ist zu tilgen. [2] So verm. st. οὐ νοοῦσιν, wie A und Æ geben. [3] So mit A. Æ: καί. [4] 'durch mein ἐγχειρίζειν'. [5] A: νέος γεγονώς [νέος γε νοῦν?]. [6] Hier Σκανδαρίαν. [7] w: ἡμερῶν. [8] A: εὐπειθείᾳ. V: civium concordia. [9] perfusa. [10] στηρίξας, ἐπιρρώσας. [11] oder ἐκφωτίσας? [12] 'in Furcht setzen' [LXX]. [13] Die unentbehrliche Negation fehlt bei Æ. [14] sc. τὴν πόλιν. [15] l. **պանծամբ**. [16] κοσμ. bei Æ hinter βίου. [17] Das Eingeklammerte — wohl B entnommen — unterbricht den Zusammenhang und enthält grösstenteils Wiederholungen. [18] l. **բնաւորեցայ** st. **—ար**. [19] Æ: πάντοτε. [20] A: νοήσεις. [21] l. **յինքն անց** st. **յինքեանց**. [22] l. **աստուածոյ** st. **—ոց**.

v καὶ τὴν Αἴγυπτον ὑπ' αὐτῶν πορθουμένην A.

χαλκοῦν κατασκευάσαι δομησάμενον[1] τέμενος ἐμφερὲς τοῖς Ὁμηρικοῖς ἔπεσιν[2], ὡς εἶπεν ὁ θαυμαστὸς ποιητὴς οὗτος Ὅμηρος·[3]

. . . καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.[4]

Ὁ δὲ Παρμενίων κατεσκεύασε τὸ καλούμενον Σαραπεῖον. Ἡ μὲν οὖν διαταγὴ τῆς πόλεως οὕτως ἔχει, ἣν εἰρήκαμεν. om. A

34, Ὁ δὲ Ἀλέξανδρος παραλαβὼν τὰ στρατεύματα ἐπείγετο εἰς τὴν Αἴγυπτον ἐλθεῖν καὶ ἔπεμψε τὰς τριήρεις[5] μένειν αὐτὸν εἰς Τρίπολιν. αὐτὸς δὲ ἔκαμνε διὰ τὸ στράτευμα[6], ἡ γὰρ ὁδοιπορία δυσχερὴς ἦν. Ἐξῆλθον[7] δὲ τῷ Ἀλεξάνδρῳ κατὰ πάσας τὰς πόλεις οἱ προφῆται τοὺς ἰδίους[8] θεοὺς ἐκφέροντες καὶ θύοντες[9] ἀνηγόρευον αὐτὸν νέον Σεσόγχωσιν κοσμοκράτορα. Εἰς Μέμφιν γὰρ παραγενόμενον ἐνεθρόνισαν εἰς τὸν τοῦ Ἡφαίστου θρόνον καὶ ἐστόλιζον ὡς Αἰγυπτίων βασιλέα. ϙε΄. =A

Εἶδε δὲ Ἀλέξανδρος τοιοῦτον[10] ἀνδριάντα ἐκ μέλανος λίθου, καὶ γραφὴν εἶχεν ἐπὶ τῆς βάσεως οὕτως· Ὁ φυγὼν βασιλεὺς ἥξει πάλιν εἰς Αἴγυπτον, οὐ γηράσκων, ἀλλὰ νεάζων, καὶ τοὺς ἐχθροὺς ἡμῶν Πέρσας ὑποτάξει ἡμῖν. om. Gr. Ὁ δὲ ἐπύθετο, τίνος ἐστὶν ὁ ἀνδριὰς οὗτος. Οἱ δὲ[11] λέγουσιν· „Οὗτός ἐστιν ὁ ἔσχατος γενόμενος βασιλεὺς Νεκτανεβώς, ὃς ἐλθόντων τῶν Περσῶν καὶ τοῖς Αἰγυπτίοις πολεμούντων τὴν Αἴγυπτον πορθῆσαι Gr. εἶδε διὰ τῆς μαγικῆς δυνάμεως τοὺς θεοὺς τῶν Αἰγυπτίων ἐν τοῖς στρατοπέδοις τῶν ἐναντίων ἐλθόντων εἰς τὴν Αἴγυπτον. v καὶ γνοὺς τὴν ὑπ' αὐτῶν γενομένην[12] προδοσίαν ἔφυγε λάθρα. ζητούντων δὲ ἡμῶν αὐτὸν καὶ ἀξιούντων τοὺς θεούς, ποῦ ἄρα ἔφυγεν ὁ βασιλεύς, οὗτος ἐχρημάτισεν ὁ ἐν τῷ ἀδύτῳ ἐν τῷ Σαραπείῳ[13] =A θεὸς οὕτως· Ὁ φυγὼν βασιλεὺς ὑμῶν ἥξει πάλιν εἰς Αἴγυπτον οὐ γέρων, ὥσπερ ἦν, ἀλλὰ νεάζων." καὶ τοὺς ἐχθροὺς ἡμῶν Πέρσας ὑποτάξει add. Gr. ϙϛ΄.

Ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος ἀναπηδᾷ εἰς τὸν ἀνδριάντα καὶ περιεπλάκη αὐτῷ καὶ εἶπεν· „Οὗτός μου πατήρ ἐστιν, ἐγὼ τούτου υἱός εἰμι. οὐκ ἐψεύσατο ὑμᾶς ὁ τοῦ θεοῦ ὑμῶν χρησμός. Ἀλλὰ θαυμάζω, πῶς ἄρα ὅλως ἐλήφθητε ὑπὸ τῶν βαρβάρων τείχη ἀχειροποίητα[14] =A, ἀκαταμάχητα B ἔχοντες μὴ δυνάμενα ὑπὸ τῶν πολεμίων καταληφθῆναι. ποταμοὶ γάρ εἰσι κύκλοθεν οἱ φυλάττοντες ὑμῶν τὴν πόλιν, καὶ τρίβοι σκολιοὶ δύσβατοι[15] καὶ στενοί, om. A ὥστε μὴ δύνασθαι πλῆθος στρατιᾶς ἐπιβαίνειν[16]. =A καὶ γὰρ ἐγὼ μετὰ μικρᾶς στρατιᾶς πρὸς ὑμᾶς ἐρχόμενος ἔκαμνον διὰ τὴν δυσέκβατον ὁδόν. Ἀλλὰ τοῦτο τῆς ἄνω προνοίας ἐστὶ καὶ τῆς θείας δικαιότητος, ἵνα ὑμεῖς οἱ ἔχοντες γῆν εὔφορον καὶ ποταμοὺς[17] ὑποτεταγμένοι ἦτε τοῖς μὴ ἔχουσι ταύτην τὴν ἐξουσίαν. εἰ γὰρ μετὰ τούτων ὧν ἔχετε[18] δωρεῶν καὶ ἐβασιλεύετε[19], ἔθνησκον ἂν οἱ βάρβαροι ταῦτα μὴ κεκτημένοι. Ὅθεν οἱ μὲν μὴ ἔχοντες [ταῦτα], δύναμιν [ἔχουσι] πολεμικήν, οἱ δὲ ἔχοντες τέχνην ϙζ΄.

---

[1] Die Auflösung des Partic. bei Æ in καὶ δομήσασθαι ist sinnstörend. [2] carminibus. [3] Il. I 528. [4] Æ: δεινῶς κινηθεὶς ἐλελίχθη ὁ Ὄλυμπος. [5] A: τὰ λίβερνα. [6] A: ἔκαμνε τὸ στράτ. [7] l. ելին. A: ὑπήντων. [8] w: τοὺς ἕκαστος θεούς. [9] Fehlt bei A. [10] M: ὑψηλόν. [11] M: Οἱ δὲ προφῆται. [12] M: μέλλουσαν. [13] A: τοῦ Σινωπείου, wie ε΄. [14] A. [15] A: δυσκάμπτοι. [16] A: ἐπιμεῖναι. [17] Æ hat hier einen Anacoluth, indem er nach ποταμούς fortfährt: διὰ τί ὑποτεταγμένοι ἦτε . . .; [18] l. ունիք st. ունէիք. [19] l. թագաւորէիք: 'wenn ihr auch die Kraft zu herrschen hättet'.

γεωργικὴν ὑμεῖς δουλεύετε[1] τοῖς μὴ ἔχουσι. καὶ οἱ μὴ ἔχοντες παρὰ τῶν ἐχόντων λαμβάνουσιν.”

ϙη΄. Καὶ οὕτως εἰπὼν Ἀλέξανδρος ᾔτησε φόρους παρ᾽ αὐτῶν, ὡς[2] καὶ τῷ Δαρείῳ παρεῖχον, λέγων· “Οὐχ ἵνα εἰς τὸ ἴδιον ταμιεῖον ἀποθῶ, ἀλλ᾽ ἵνα δαπανήσω εἰς τὴν πόλιν ὑμῶν Ἀλεξάνδρειαν τὴν κατ᾽ Αἴγυπτον μητρόπολιν οὖσαν ὅλης τῆς οἰκουμένης.” Οὕτως αὐτοῦ εἰπόντος, ἀσμένως ἔδωκαν χρήματα καὶ μετὰ τιμῆς[3] ἀπέπεμψαν τὸν βασιλέα διὰ τοῦ Πηλουσίου. ‖ Καὶ λαβὼν τὰ στρατόπεδα Ἀλέξανδρος τὴν ὁδοιπορίαν ἐπ᾽ εὐθείας 35. ἐποιεῖτο εἰς τὴν Συρίαν, ὑπηκόους δὲ ἔσχε τὰς ἔγγιστα πόλεις. = A, om. B

ϙθ΄. Κἀκεῖθεν στρατολογήσας τοὺς κραταιοὺς[4] παραγίγνεται εἰς Τύρον. Ἀντιτάσσονται αὐτῷ οἱ Τύριοι οὐκ ἐῶντες διελθεῖν διὰ τῆς πόλεως αὐτῶν κατὰ ἀρχαῖόν τινα χρησμὸν ὑπὸ θεοῦ δοθέντα αὐτοῖς τοιοῦτον· Ὅταν διέλθῃ διὰ τοῦ ἐδάφους τῆς πόλεως ὑμῶν βασιλεύς, ἡ πόλις ὑποπίπτει τῇ ἀρχῇ. Ὅθεν ἀντέστησαν οὐκ ἐῶντες[5] εἰσελθεῖν Ἀλέξανδρον. om. Sy. Καὶ ἀντιτάσσονται αὐτῷ οἱ Τύριοι περιτειχίσαντες ὅλην τὴν πόλιν. Καὶ κραταιᾶς μάχης γενομένης πολλοὺς ἀνεῖλον τῶν Μακεδόνων. καὶ ἡττᾶται τὸ στράτευμα Ἀλεξάνδρου, καὶ ὑποστρέφει ὁ βασιλεὺς εἰς Γάζαν. καὶ ἀναπαυσάμενος[6] καὶ ἀναζωπυρήσας τὰ ἑαυτοῦ στρατεύματα ἐκ τοῦ πόνου ἐζήτει τὴν Τύρον ἐκπορθῆσαι. Ὁρᾷ δέ τινα καθ᾽ ὕπνον λέγοντα αὐτῷ· “Μὴ γενοῦ ἄγγελος αὐτὸς εἰς Τύρον.”

ρ΄. Καὶ ἔπεμψε πρέσβεις ἐκεῖσε μετὰ γραμμάτων ἐχόντων οὕτως· “Βασιλεὺς Ἀλέξανδρος Μακεδόνων, υἱὸς Ἄμμωνος καὶ βασιλέως Φιλίππου παῖς καὶ μέγιστος αὐτὸς βασιλεὺς Εὐρώπης, Ἀσίας καὶ Λιβύης, Τυρίοις τοῖς μηκέτι οὖσι λέγει· Ἐγὼ τὴν πορείαν[7] ποιούμενος ἐπὶ τὸ τῶν Σύρων ἔθνος, μετὰ εἰρήνης καὶ εὐνομίας[8] ἠβουλόμην τὴν εἴσοδον ποιήσασθαι. εἰ δὲ ὑμεῖς οἱ Τύριοι οἱ μάλα πρῶτοι τυγχάνοντες — οὐ τῇ πολιτείᾳ λέγω, ἀλλὰ τῇ ὁδοιπορίᾳ μου[9] — ἀντιτάσσεσθέ μοι, δι᾽ ὑμῶν μαθήσονται καὶ οἱ λοιποί, δυνάμει[10] πόσον σθένουσιν οἱ Μακεδόνες, καθ᾽ ὑμᾶς παθούσης [καὶ] πτηξάσης τῆς ὑπερηφανίας. ἀλλὰ μένει ὑμῖν καὶ ὁ παρὰ τοῦ θεοῦ χρησμὸς ἀσφαλής[11]. διελεύσομαι γὰρ διὰ τῆς πόλεως ὑμῶν. ἔρρωσθε σωφρονοῦντες, εἰ δὲ μή, φθείρεσθε[12] δυστυχοῦντες.”

ρα΄. Ἀναγνοὺς δὲ τὰ γράμματα ὁ πρωτόβουλος[13] αὐτῶν ἐκέλευσε τοὺς πρέσβεις μαστίζεσθαι λέγων· “Ποῦ[14] ἐστιν οὗτος ὁ Ἀλέξανδρος ὑμῶν;” Τῶν δὲ λεγόντων μηδένα εἰδέναι, ἀνεσταύρωσαν αὐτούς. Ὁ δὲ βασιλεὺς ἐζήτει, διὰ ποίας ὁδοῦ εἰσέλθῃ καὶ καταλάβῃ τοὺς Τυρίους. ἀλογίαν γὰρ ἡγεῖτο [αὐτῶν ἀφόρητον εἶναι][15]. Καὶ εἶδε κατ᾽ ὄνειρον ἕνα τῶν τοῦ Διονύσου = A, BCL Διός προσπόλων[16] Σάτυρον ὄνομα ἐπιδιδόντα αὐτῷ τυρόν. Ὁ δὲ Ἀλέξανδρος

---

[1] Æ giebt wieder eine Frage: τί ἐδουλεύσατε . .; [2] M: οὓς. [3] So A. M: μετὰ φόβου καὶ τιμῆς. [4] l. Plur. M: ἄνδρας δισχιλίους καταφράκτους. [5] Wohl տուեալ st. տալ (ἐᾶν). [6] M: ἀνακτησάμενος αὐτήν. [7] Æ: ἀρχήν [Anfang]. [8] w: εὐνόμου ἐλευθερίας. [9] A: οὐ τῇ πολιτείᾳ ἀλλ᾽ ἐγὼ ἀλλὰ . . Von Æ sind die beiden objectiven Dative irrtümlich instrumental aufgefasst. [10] l. Instrum. [11] V: neque juvabit — ἀνωφελής. Vielleicht urspr.: ἀλλὰ μὴν ὑμῖν . . . ἀνωφελής [sc. die Berufung darauf]. [12] Sonst ἔρρωσθε. [13] l. առաջնոյ. [14] M: ποῖος ὑμῶν . . V: quisnam eorum ipse Alexander foret. Schwerlich ursprünglich. Vielleicht gemeint: ‘Wo ist nun euer mächtiger Alexander? Möge er euch doch aus unsrer Hand retten!’ Dann wäre das Folgende: τῶν δὲ λεγόντων μηδένα εἰδέναι zu tilgen. [15] M: αὐτῶν τὴν ἧτταν. [16] Æ irrig προφητῶν.

δισχιλίους ἄνδρας καταφράκτους Sy.

ὅταν ἐπέλθῃ ὑμᾶς, Τύριοι, βασιλεύς, ἐπ᾽ ἐδάφους ἡ πόλις ὑμῶν ~~ἔρχεται~~ γενήσεται B, om. LC
— διέλθῃ ὑμᾶς, —— —— – —— ὑμῖν ἔρχεται ἡ πόλις A

ἀνακτησάμενος ἑαυτόν BLC, αὐτὴν A

= A; BL: μὴ δόξῃ σοι γενέσθαι ἄγγελον ἑαυτοῦ εἰς Τύρον.

= A; BL: Εὐ. τε καὶ πάσης A., Αἰγύπτου καὶ Λ.

πόσον σθενοῦσιν Μακεδόνες πρὸς τὴν ὑμῶν ἀπόνοιαν A, πτήξουσιν ὑποτασσόμενοι ἡμῖν

μὴ εἰδέναι B. μηδένα εἰδέναι L, μηδένα εἶναι A.

διὰ τὸ τὸν Σάτυρόν σοι δεδωκέναι Τύρον. σὺ (σέ?) δὲ τοῖς ποσί σου αὐτὸν καταπατῆσαι Gr.

= BL, A: ὅσα οὐδὲ ψάμμῳ μετρήσει τις ἀριθμῷ.

λαβὼν κατέβαλε καὶ τοῖς ποσὶ κατεπάτησεν. Ἀναστὰς δὲ διηγήσατο ὀνειροπόλῳ
τινί. Ὁ δὲ συγκρίνας[1] τὸ ὅραμα εἶπε· „Βασιλεῦ, σοὶ Τύρος om. Gr.
γενήσεται ὑποχείριος διὰ τὸν Σάτυρον[2], καὶ καταστρέψεις διὰ τό σε τὸν
τυρὸν ἐν τῇ γῇ καταπατῆσαι.“ Οὕτως ἔκρινεν[3] ὁ ὀνειροπόλος. = A, om. BLC

Μετὰ δὲ ἡμέρας[4] συνῆψε[5] πρὸς τοὺς Τυρίους πόλεμον μετὰ τῶν τριῶν ρβ΄.
κωμῶν τῶν ἔγγιστα αὐτῆς[6] καὶ συμμάχων τῷ Ἀλεξάνδρῳ γενομένων καὶ
γενναίως μαχεσαμένων. καὶ[7] νυκτὸς ἤνοιξαν τὰς πύλας αὐτῆς καὶ ἀνελόντες
τοὺς φύλακας ἐπόρθησαν τὴν Τύρον ἐπ᾽ ἔδαφος καταβαλόντες, ὥστε μέχρι
τῆς σήμερον λέγεσθαι, ἃ ἐπράχθη.[8] Τὰς δὲ τρεῖς κώμας βοηθοὺς γενομένας
αὐτῷ καὶ γενναίως μαχεσαμένας εἰς μέτρον πόλεως ἀνεγράψατο καὶ
36. Τρίπολιν ὠνόμασεν. Καὶ καταστήσας εἰς Τύρον ἐπιμελητὴν τὸν τῆς = A, BL: σατράπην τ
Φοινίκης σατράπην αὐτὸς ὥδευσε παρὰ τὴν Συρίαν.[9]

Μετὰ ταῦτα ὑπήντησαν αὐτῷ πρέσβεις Δαρείου ἐπιστολὰς κομίζοντες ργ΄.
αὐτῷ καὶ σκῦτος καὶ σφαῖραν καὶ κιβώτιον μεστὸν[10] χρυσοῦ. καὶ λύσας[11]
τὰς ἐπιστολὰς Ἀλέξανδρος ἀνέγνω· „Βασιλεὺς βασιλέων καὶ θεῶν συγγενής,
σύνθρονος τῷ ἡλίῳ, τῷ θεῷ Μίθρᾳ, καὶ συνανατέλλων τῷ ἡλίῳ, ἐγὼ αὐτὸς = A, om. BL
θεὸς Δαρεῖος Ἀλεξάνδρῳ τῷ ἐμῷ θεράποντι τάδε προστάττω· Δηλῶ σοι
ἐπαναστρέφειν πρὸς τοὺς γονεῖς τοὺς ἐμοὶ δουλεύοντας καὶ κοιτάζειν εἰς
τὸν κόλπον τῆς μητρός σου Ὀλυμπιάδος. ἔτι γὰρ ἡ σὴ ἡλικία παιδεύεσθαι
ὀφείλει[12] καὶ τιθηνίζεσθαι. Διὸ ἔπεμψά σοι σὺν γράμμασι σκῦτος καὶ
σφαῖραν καὶ κιβώτιον χρυσοῦ μεστόν[13], ἵνα αἱρήσῃ[14], ὅ τι βούλει. τὸ μὲν
σκῦτος μηνύον σοι, ὅτι ἔτι παιδεύεσθαι ὀφείλεις, τὴν δὲ σφαῖραν, ἵνα μετὰ
τῶν συνηλικιωτῶν σου παίζῃς. καὶ μὴ ληστὴς τὴν ἀγέρωχον ἡλικίαν
τοσούτων νέων πεῖθε, ὥσπερ ἀρχιληστὴς μετὰ σεαυτοῦ λαβὼν τὰς πόλεις = BL, om. A
ταράσσων. Οὐδὲ γὰρ ἡ σύμπασα οἰκουμένη ἐὰν συνέλθῃ[15], δυνήσονται = A
καθελεῖν τὴν τῶν Περσῶν δύναμιν. τοσοῦτο γάρ ἐστί μοι πλῆθος στρατοπέδων,
ὅσον οὐδὲ τὴν ψάμμον ἀριθμῆσαί τις δύναται. Χρυσὸς δὲ καὶ
ἄργυρος πολύς, ὥστε πάντα τὰ πεδία καὶ πᾶσαν τὴν γῆν πληροῦν[16]. Διὸ π. τ. π. τῆς γῆς A, π. τ. π
καὶ ἔπεμψά σοι κιβώτιον χρυσοῦ μεστόν, ἵνα ἐὰν μὴ ἔχῃς, δι᾽ ὧν συστρέψῃς[17], om. BL
δῷς[18] τούτοις τοῖς λησταῖς, ὅπως ἕκαστος αὐτῶν ἀνασωθῆναι om. BL
δυνηθῇ καὶ εἰς τὴν ἰδίαν πατρίδα ἔρχεσθαι. Ἐὰν οὖν μὴ πεισθῇς τοῖς
κελευομένοις σοι ὑπ᾽ ἐμοῦ, πέμψω σοι καταδιώκοντας[19] εἰς τὸ συλλαμβάνειν
σε. οὐ γὰρ οὕτως εὐτυχήσεις[20], ὥστε μὴ συλληφθῆναι ὑπὸ τῶν
ἐμῶν στρατιωτῶν. καὶ συλληφθεὶς οὐχ ὡς Φιλίππου υἱὸς παιδευθήσῃ, ἀλλ᾽
ὡς στασιαστὴς καὶ ἄδικος ἀποστάτης καὶ ἀρχιληστὴς ἀνασταυρωθήσῃ.“

37. Οὕτως ἀναγνόντος Ἀλεξάνδρου ἐδειλίασαν τὰ στρατόπεδα. ἣν νοήσας ρδ΄.
Ἀλέξανδρος δειλίαν εἶπεν οὕτως· „Ἄνδρες Μακεδόνες, V τί ἐταράχθητε ἐπὶ Vκαὶ συστρατιῶται add. Gr.
τοῖς γεγραμμένοις, ὡς ἀληθῶν ὄντων καὶ δύναμιν ἐχόντων τῶν γραμμάτων[21];

---

[1] ἑρμηνεύσας. [2] Sofern nämlich Σάτυρος, zerlegt in Σὰ Τύρος, besagt: tua est Tyrus [Plutarch]. [3] Æ: Partic. [nach arm. Sprachgebr. häufig an Stelle des verbum finitum verwendet]. [4] M: ἡ. τρεῖς. [5] Æ: συνάψας [Anm. 3]. [6] sc. τῆς πόλεως. [7] Æ: ὃν, οὓς [?]. [8] M: τὰ ἐν Τύρῳ κακά. [9] Æ irrig: Tyrerland. [10] լի ist ausgefallen. [11] A: ἀνασφραγίσας. δεξάμενος BL [12] M: θέλει. [13] Ergänze լի. [14] A: ἄρῃς. [15] Ergänze եղիցի. [16] AB: καταστρῶσαι. [17] So A. V führt auf ὑποστρέψῃς [sumptibus ad reversionem], und nach B wäre θρέψῃς zu erwarten. [18] Æ: δός. [19] Von Æ = δήμιοι gefasst. [20] Dieser Satz fehlt sonst. [21] l. գիրք [գրոց] st. իրաց [πραγμάτων].

ὁ γὰρ Δαρεῖος κομπάζων ταῦτα γράφει, αὐτὸς δὲ ἀνόμοιός ἐστι τοῖς γεγραμμένοις[1]. Καὶ γάρ τινες τῶν κυνῶν ἀδυνατοῦντες τῇ ἀλκῇ τῶν
= A, om. BL σωμάτων μάχεσθαι, μέγα (καὶ βαρέως) ὑλακτοῦσιν, ὡς διὰ τοῦ ὑλαγμοῦ
ἐμφαίνοντες τὸ δύνασθαι. Οὕτω καὶ[2] ὁ Δαρεῖος τοῖς ἔργοις μὴ δυνάμενος,
ἐν τοῖς γεγραμμένοις δοκεῖ τις εἶναι, ὥσπερ οἱ κύνες ἐν τοῖς ὑλάγμασι.
ἐφωταγωγήθημεν Gr. Δεχώμεθα[3] δὲ καὶ ἀληθῆ εἶναι τὰ γεγραμμένα. ἐφώτισε καὶ ἐδίδαξεν ἡμᾶς,
ἵνα εἰδῶμεν[4], πρὸς τίνα ἐστὶν ἡμῖν γενναίως πολεμητέον, καὶ εὐλαβώμεθα[5], om. Gr.
[μὴ] ἡττηθέντες παραδοθῶμεν καὶ συλληφθῶμεν."

ρε΄. Οὕτως εἰπὼν ἐκέλευσεν ἐξαγκωνίζεσθαι τοὺς πρέσβεις γραμματοφόρους
= C, ἀπαχθέντες A καὶ ἀπενεχθῆναι εἰς τὸ ἀνασταυρωθῆναι. Οἱ δὲ φόβῳ καταληφθέντες
εἶπον· "Ἡμεῖς σοι τί δυσμενὲς ἐπράξαμεν, βασιλεῦ, ὅτι οὕτως ἀναιρεῖς
om. Gr. ἡμᾶς; ἄγγελοί ἐσμεν Δαρείου, τί ἀναιρεῖς ἡμᾶς κακῶς τοὺς Τυρίους ζηλῶν,
οἳ ἀνεσταύρωσαν τοὺς πρέσβεις σου; τοῦτο μὴ δίδαξον τὴν πᾶσαν οἰκουμένην.[6]" om. Gr.
Λέγει αὐτοῖς ὁ βασιλεύς· "Μέμψασθε τὸν βασιλέα ὑμῶν Δαρεῖον
καὶ μὴ ἐμέ. ἔπεμψε γὰρ οὗτός μοι τοιαῦτα γράμματα οὐχ ὡς βασιλεῖ[7],
ἀλλ' ὡς ἀρχιληστῇ. νῦν ἀναιρῶ ὑμᾶς ἐλθόντας ὡς πρὸς[8] αὐθάδη καὶ
om. Gr. ὑπερήφανον ἄνθρωπον, καὶ οὐχ ὡς πρὸς βασιλέα." Οἱ δὲ λέγουσιν· "Εἰ
καὶ Δαρεῖος μηδὲν εἰδὼς ἔγραψέ σοι τοιαῦτα, ἀλλ' ἡμεῖς ὁρῶμεν ἐνθάδε
∨βασιλείαν καὶ A, om. B τοιαύτην∨παράταξιν[9] στρατευμάτων[10] καὶ ἐνοήσαμεν μέγιστον καὶ φρενήρη
om. Gr. βασιλέα ὡς τὸν υἱὸν Ἄμμωνος[10] καὶ βασιλέως Φιλίππου. δεόμεθα τῆς
σῆς ἀνδρείας[11], ἵνα χαρίσῃ ἡμῖν τὸν βίον ἡμῶν." Ὁ δὲ Ἀλέξανδρος εἶπε·
"Νῦν ἐδειλιάσατε τὸν τῶν πληγῶν θάνατον[12] ὑμῶν καὶ ἱκετεύετε τοῦ μὴ
ἀποθανεῖν. διὰ τοῦτο ἀπολύω ὑμᾶς. οὐ γὰρ προαίρεσίς ἐστί[13] μοι ἀναιρεῖν[14]
= AL, B: ἵνα ἴδητε ὑμᾶς, ἀλλὰ ἐνδείξασθαι[15] τὴν διαφορὰν Ἑλλήνων βασιλέως [καὶ] τοῦ βαρβάρου
τυράννου ὑμῶν. μὴ οὖν προσδοκᾶτε κακόν τι παθεῖν ὑπ' ἐμοῦ.
om. Gr. κατὰ γὰρ τὸν νόμον[10] βασιλεὺς ἄνδρα ἄγγελον οὐ κτείνει."

ρϛ΄. Οὕτως εἰπὼν ἐκέλευσε τοῖς γραμματοφόροις δεῖπνον κατασκευάζεσθαι
καὶ συνανεκλίθη αὐτοῖς[16] καὶ εὐφράνθη σὺν αὐτοῖς ἐσθίειν καὶ πίνειν.
om. Gr. Καὶ νικηθέντες πότῳ[10] οἱ ἄγγελοι ἠβούλοντο λάθρα λέγειν Ἀλεξάνδρῳ,
πῶς ἐνεδρεύων λάβῃ[17] τὸν Δαρεῖον μὴ[10] πόλεμον ποιήσας πρὸς αὐτόν.
Λέγει αὐτοῖς ὁ βασιλεύς· "Μὴ τοιοῦτο εἴπατέ μοι. εἰ γὰρ μὴ ἀπήρχεσθε[18] = L
πρὸς Δαρεῖον, ἐμάνθανον ἄν τι παρ' ὑμῶν. ἐπειδὴ δὲ πορεύεσθε πρὸς
αὐτόν, οὐ θέλω τι μανθάνειν παρ' ὑμῶν, μήπως διαβάλῃ τις ἐξ ὑμῶν
Δαρείῳ τὰ εἰρημένα[19] καὶ εὑρεθῶ ὑμῖν αἴτιος τοῦ ὀλέθρου ὁ χαρισάμενος = A
ὑμῖν τὸ μὴ ἀποθνήσκειν ὑπ' ἐμοῦ.[20]" Ἐτίμησαν οἱ σατράπαι[21] τὸν = A
Ἀλέξανδρον καὶ αὐτοὶ οἱ γραμματοφόροι.

ρζ΄. Καὶ εὐθέως μετὰ ἡμέραν μίαν[22] γράφει γράμματα πρὸς Δαρεῖον. καὶ 38.

---

[1] V: confidentiae carent probatione. [2] l. և st. պետ [ἄρχων]. [3] M: συνθώμεθα [l. θώμεθα]. Dem Zusammenhang entspricht: 'lasst uns den Fall setzen'. [4] M: ἴδωμεν. [5] w: αἰσχύνην ἡγεῖσθαι [Inf.]. Darnach ist m. E. զի մի einzufügen und մատնեսցուք zu lesen. [6] Das Letzte von τ. Τυρίους an fehlt sonst. [7] w: κοσμοκράτορι. [8] Æ jedoch: παρὰ ἀ. ἀνθρώπου . . . βασιλέως. [9] παρασκευήν. A: βασιλείαν κ. παράταξιν. [10] Fehlt sonst. [11] So nirgends. [12] Wohl Deutung von κόλασιν. [13] A: προθέσεως εἰμί. M: προαιρέσεως εἰμί. [14] A: κολάσαι. B: ἀπολέσαι. C: ἀναιρέσαι. [15] A. [16] V: participatque convivio. [17] l. կալցի st. —ին. [18] M: ἀπέρχεσθε. [19] Æ: τὰ εἰρ. ὑπ' ἐμοῦ. [20] A: παρασχόμενος ὑμῖν παρ' ἐμοῦ μὴ κολασθῆναι. [21] A. [22] M: ἡ. τρεῖς.

---

om. Gr., IV: quae arrogantiae quidem vanitatisque habent testimonium, confidentiae
vero carent probatione. – [illegible] und Arm Bi 1743 J.:
Δαρεῖος μὲν κομπηγορῶν ἀφρόνως ταῦτα λέγει,
ὡς γεγονὼς ἀνόμοιος τῶν τυχηρῶν τοῦ βίου.
Syr.: now this boasting and arrogance that is written in his letter is a mere pretens
and there is no truth in it.

BL: αἰσχυνθῶμεν, A: ἵνα μὴ ἀπροσδόκητοι ληφθέντες ἡττηθῶμεν, ἀλλὰ γενναίως μαχεσάμενοι
στεφανωθῶμεν.

ὑμᾶς μετὰ τοιούτων γραμμάτων Gr.

ἐκέλευσεν αὐτοῖς δείπνου γενομένου συμπαρακλιθῆναι αὐτῷ Gr.

ἐτίμησαν οὖν αὐτὸν οἱ γραμματοφόροι Δαρείου πολλαῖς φωναῖς καὶ πᾶν τὸ πλῆθος
τῶν στρατευμάτων ἐπευφήμουν αὐτόν. BL.
Gr.: τρεῖς, Syr.: on the following day, Bi: ἐς αὔριον.

ἀγγελῶν μοι L
σὺ μὲν ταῦτα ἔπεμψάς μοι ἀνελών με, ἐγὼ δὲ ταῦτα ἀγαθῆς ἀγγελίας ἐδεξάμην BL
ἀγγέλλων μοι κακότητα C
— — — —, ἐγὼ δὲ ταῦτα ὡς χλευαζόμενος ἀγαθὰ σημεῖα ἐπεδεξάμην A

λάθρα τῶν γραμματοφόρων ἀνέγνω παρὰ τοῖς σατράπαις[1] καὶ τοῖς σοφοῖς om. Gr.
φίλοις[2] αὐτοῦ, ἡ ἐπιστολὴ εἶχε τάδε γεγραμμένα· "Βασιλεὺς Ἀλέξανδρος υἱὸς
Ἄμμωνος[2] καὶ πατρὸς Φιλίππου καὶ μητρὸς Ὀλυμπιάδος βασιλεῖ βασιλέων
καὶ συνθρόνῳ ἡλίου, τοῦ θεοῦ Μίθρου, καὶ ἐκγόνῳ[3] τῶν θεῶν καὶ συνανατέλλοντι om. Gr., habet Bi 1811.
τῷ ἡλίῳ, μεγάλῳ βασιλεῖ Περσῶν Δαρείῳ χαίρειν. Αἰσχρόν ἐστι τηλικοῦτον
βασιλέα Δαρεῖον καὶ τηλικαύτῃ δυνάμει ἐπαιρόμενον, ὄντα δὲ καὶ σύνθρονον
τῶν θεῶν,V ὑπὸ ταπεινὴν δουλείαν πεσεῖν ἀνθρώπῳ τινὶ Ἀλεξάνδρῳ. οὐ[2] V καὶ συνανατέλλοντι
γὰρ αἱ τῶν θεῶν ὀνομασίαι εἰς ἀνθρώπους χωροῦσαι[4] μεγάλην τινὰ δύναμιν τῷ ἡλίῳ BL
αὐτοῖς παρέξουσιν ἢ φρόνησιν, ἀλλὰ μᾶλλον ἀγανακτήσουσιν.[5] πῶς[6] εἰς = A
φθαρτὰ σώματα τῶν ἀθανάτων ὀνόματα[7] κατοικήσουσιν; Ἰδοὺ δὲ καὶ ἐν
τούτῳ κατεγνώσθης παρ' ἡμῶν ὡς μηδὲν δυνάμενος παρ' ἡμῖν[8], ἀλλὰ BL
[κενῶς] ταῖς τῶν θεῶν ὀνομασίαις συγχρώμενος[9] καὶ τὰς ἐκείνων οὐρανίας
δυνάμεις ἐπὶ τῆς γῆς σεαυτῷ περιτιθείς. Ἐγὼ γὰρ ἐλεύσομαι πρὸς σὲ
πολεμῶν ὡς πρὸς θνητὸν βασιλέα, ὅτι καὶ ἐγὼ θνητός εἰμι[10]. ἡ δὲ ῥοπὴ om. Gr., findet sich in
τῆς νίκης ἐκ τῆς ἄνω προνοίας ἐστί. Τί δὲ ἔγραψάς μοι τοσοῦτον χρυσόν Bi, ἐμε. TV.
σε καὶ ἄργυρον κεκτῆσθαι; ἵνα μάθωμεν καὶ διὰ τὴν ἐπιθυμίαν[11] χρυσοῦ om. Gr.
γενναίως σοι πολεμήσωμεν, ὅπως τὰ σὰ ἡμέτερα γενήσονται. Ἐγὼ γὰρ = A, δ. ταῦτα λήψονται
ἐπὰν νικήσω σε, περίφημος ἔσομαι καὶ μέγας βασιλεὺς παρὰ τοῖς Ἕλλησι
καὶ βαρβάροις, ὅτι τηλικοῦτον δυνάστην, τὸν βασιλέα τῶν βασιλέων Δαρεῖον, om. Gr.
ἀνεῖλον. ἐὰν δὲ σὺ ἐμὲ ἡττήσῃς, οὐδὲν γενναῖον ἔπραξας, ἀρχιλῃστὴν γὰρ
ἥττησας, καθὼς ἔγραψάς μοι, ἐγὼ δὲ Δαρεῖον βασιλέα. Ἀλλὰ καὶ ἔπεμ-
A ψάς μοι δῶρα σκῦτος καὶ σφαῖραν καὶ κιβώτιον χρυσίου. σὺ μὲν ἐμοὶ
ταῦτα ἔδωκας ὡς ἐμπαίζων[12] ἐμοί, ἐγὼ δὲ ταῦτα ὡς ἀγαθὸν σημεῖον
ἐπεδεξάμην. Τὸ μὲν σκῦτος ἔλαβον, ἵνα ταῖς ἐμαῖς λόγχαις καὶ ὅπλοις
δείρω τοὺς βαρβάρους, ταῖς ἐμαῖς χερσὶ δαρέντας[13] εἰς δουλείαν καθυπο-
τάξω. τὴν δὲ σφαῖραν, ἣ ἐσήμανάς μοι, ὡς τοῦ κόσμου ἐπικρατήσω.
σφαιροειδὴς γὰρ καὶ στρογγύλος τυγχάνει ὁ κόσμος. τὸ δὲ κιβώτιον χρυσίου
μέγα σημεῖόν μοι ἔπεμψας, τὴν ὑποταγήν σού μοι διδοὺς αὐτὸς ἐμήνυσας.
νικηθεὶς γὰρ ὑπ' ἐμοῦ καὶ ὑπὸ τὴν χεῖρά μου πεσὼν ἐν ταπεινότητι om. Gr.
φόρους δώσεις μοι."

39. Οὕτως ἀναγνοὺς Ἀλέξανδρος παρὰ τοῖς ἑαυτοῦ στρατεύμασιν, ἀρεστὸν ρή'. om. Gr.
ἔδοξε πᾶσι καὶ ἐπαίνου ἄξιον, καὶ σφραγίσας ἔδωκε τοῖς γραμματοφόροις,
καὶ τὸ χρυσίον ἐχαρίσατο αὐτοῖς, ὃ ἔπεμψεν αὐτῷ Δαρεῖος. οἱ δὲ δεξάμενοι
τὴν σοφίαν καὶ μεγαλοφροσύνην ἀνεχώρησαν πρὸς Δαρεῖον. Ἀλέξανδρος om. Gr.
δὲ τὰ στρατεύματα παραλαβὼν πάντα καὶ τὴν Συρίαν ὅλην ὑποτάξας = A, BL autem
ἐπορεύετο εἰς τὴν Ἀσίαν.

Λαβὼν δὲ τὴν γραφὴν Δαρεῖος ἐπεγερθεὶς[14] δι' αὐτῆς μεγάλῃ ταραχῇ ρθ'.
γράφει τοῖς ἑαυτοῦ βασιλείας σατράπαις τοιάδε· "Βασιλεὺς Δαρεῖος τοῖς
ἐπέκεινα τοῦ Ταύρου[15] χαίρειν. Ἐπιστέλλουσί[16] μοι ἐπαναστάντα Ἀλέ-

---

[1] M: στρατεύμασι. [2] Fehlt sonst. [3] A. [4] ἐλθοῦσαι. [5] So auch A. Verständlicher wäre ἐπαροῦσιν αὐτούς. [6] զի [entspr. A] durch ὅτι zu geben, scheint nach dem Zusammenhang nicht möglich. Es war vom Übersetzer wohl fragend = զիարդ gemeint. [7] Zu erwarten wäre: ποιότητες, οὐσία. [8] oder πρὸς ἡμᾶς. [9] w: conjunctus. [10] V: ut mortalis mortalem violentiam experturus. [11] V: si modo eorum amor nobis est. [12] = χλευαζόμενος [A]. [13] oder δείρας. [14] = κινηθείς [A]. [15] στρατηγοῖς [M] fehlt. [16] St. ապաքէն πάντως l. առաքեն.

= A, om. BL ξανδρον, τὸν Φιλίππου παῖδα, διαβάντα[1] εἰς τὴν Ἀσίαν πορθεῖν τὴν ἐμὴν χώραν. Ὑμεῖς οὖν πονήσαντες αὐτὸν συλλάβετε, μηδὲν κακὸν πρὸς αὐτὸν[2] ἐργασάμενοι, ὅπως ἐγὼ ἐκδύσας αὐτὸν τὴν πορφυρᾶν στολὴν καὶ πληγὰς αὐτῷ δοὺς οὕτως ἀποστείλω αὐτὸν εἰς τὴν γῆν τῶν Μακεδόνων εἰς τὴν πατρίδα αὐτοῦ πρὸς τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα διδοὺς αὐτῷ κρόταλα καὶ ἀστραγάλους, οἷς[3] οἱ τῶν Μακεδόνων παῖδες παίζουσι, καὶ ἀποστέλλω[4] αὐτῷ ἄνδρα Πέρσην σωφροσύνης διδάσκαλον σκῦτος ἔχοντα, ὃς οὐκ ἐπιτρέψει αὐτῷ ἀνδρὸς φρόνημα ἔχειν, πρὶν ἄνδρα γενέσθαι. Τὰς δὲ τριήρεις, ἃς ἤγαγε, σὺν τῷ ἀνδρὶ[5] εἰς τὸν βυθὸν καταποντίσατε καὶ τοὺς στρατιώτας τοὺς ἀκολουθήσαντας αὐτῷ σιδηρώσαντες ἀναπέμψατε[6] εἰς τὴν Ἐρυθρὰν θάλασσαν οἰκῆσαι.[7] ἵππους δὲ καὶ σκευηφόρα αὐτῶν σχέτε. ταῦτα ὑμῖν ἔσται, καὶ τοῖς φίλοις ὑμῶν διανείματε καὶ δότε." = A, B; BL anders

= A ρι'. Ἔγραψαν καὶ οἱ ἐκείνων τῶν τόπων σατράπαι ἐπιστολὴν πρὸς Δαρεῖον καὶ ἔπεμψαν αὐτῷ, ἧς ἐστιν ἀντίγραφον οὕτως· "Ὑστάσπης[8] καὶ Σπανδιάταρ[ος][9] τῷ βασιλεῖ[10] ἡμῶν Δαρείῳ χαίρειν. Τοσούτου ἔθνους ἐπελθόντος[11] ἡμῖν θαυμάζομεν, πῶς σε ἔλαθε μέχρι τῆς σήμερον. ἐπέμψαμεν δέ σοι καὶ ἐκ τούτου τοῦ ἔθνους, οὓς εὕρομεν παρ' ἡμῖν ῥεμβομένους, ἐννέα[12] ἄνδρας σιδήρῳ καὶ δεσμοῖς[13] δεδεμένους, οὓς οὐκ ἐτολμήσαμεν πρότερον σοῦ ἐξετάσαι. καλῶς οὖν ποιήσεις[14] ἐν τάχει παραγιγνόμενος ἐνθάδε μετὰ πολλῆς δυνάμεως." ὑμῶν οὕτως ἔχ. = A = A

ρια'. Ταῦτα δεξάμενος Δαρεῖος καὶ ἀναγνοὺς ἔγραψε καὶ αὐτοῖς τάδε· "Βασιλεὺς βασιλέων αὐτοκράτωρ[15] Δαρεῖος Ὑστάσπῃ καὶ Σπανδιατάρῳ καὶ τοῖς ἄλλοις τοῖς ὑφ' ὑμῖν[16] στρατηγοῖς χαίρειν. Παρ' ἐμοῦ μή ποτε ἐλπίδα ἔχετε, [ἐὰν μεταβῆτε τῆς χώρας][17] καὶ τῶν ἀπολωλότων αἰχμαλώτων [μὴ] πάλιν κρατήσητε καὶ τὸ ἐπίσημον τῆς ἀνδρείας ἐπιδείξητε. Ποταπὸς θηριωδῶς ἐπεπήδησεν ἐφ' ὑμᾶς καὶ ὑμᾶς ἐθορύβησεν; Οἱ δυνάμενοι κατασβέσαι τὸν κεραυνὸν τοῦ ἀγεννοῦς ἀνδρὸς βρόμον[18] οὐκ ἠδύνασθε φέρειν; Τί οὖν ἔχετε λέγειν; τέθνηκέ τις ἐξ ὑμῶν μαχόμενος; Τί βουλεύσομαι περὶ ὑμῶν, οἳ τὴν ἐμὴν βασιλείαν κατῃσχύνατε πρόφασιν[19] διδόντες ἀνδρὶ λῃστῇ;" = A μέγας θεός ἔχ. Μ.

ριβ'. Ἐκεῖ πυθόμενος καὶ μαθὼν ὁ Δαρεῖος τὸν Ἀλέξανδρον πλησίον ὄντα ἀντικατεστρατοπέδευσε κατ' αὐτὸν πρὸς τῷ ποταμῷ Πινδάρῳ[20]. καὶ γράψας ἐπιστολὴν ἐπέστειλεν Ἀλεξάνδρῳ ἔχουσαν οὕτως· "Βασιλεὺς βασιλέων μέγας θεὸς Δαρεῖος καὶ ἐθνῶν κύριος Ἀλεξάνδρῳ √ λέγει τάδε· Σὲ μόνον λανθάνει τὸ Δαρείου ὄνομα, ὃν καὶ οἱ θεοὶ τιμῶσι καὶ σύνθρονον ἑαυτοῖς ἔκριναν[21]. καὶ ἐτόλμησας τὴν θάλασσαν διαπερᾶσθαι, καὶ οὐ μακάριον ἡγήσω λανθάνειν σε βασιλεύοντα τῶν Μακεδόνων χωρὶς τῆς ἐμῆς ταγῆς 40. = A

---

[1] A: μαινόμενον διαβάντα. [2] A: τὸ σῶμα αὐτοῦ. [3] Wohl որովք st. —ով. M: ὡς. A: οἷα. [4] A: συναποστελῶ. [5] 'mit der Mannschaft'. [6] w: δίδοτε ἄγειν. [7] V: ad Rubri maris ulteriora transduci, ut illic colere juberentur. [8] Wischtasp. V: Hystaspes. A: Ὑδάσπης. [9] Wohl armenisiert st. Σπιγχθήρ. [10] A: θεῷ Δ. [11] ἐλθόντος ist bei Æ ausgefallen. [12] V: quinque. Sonst fehlt die Zahl. [13] A bestimmter: κόραξι. [14] Nur V: boni igitur consules. [15] Sonst nicht vorhanden. [16] w: ὑμετέροις — wohl unrichtig. A: ὑπ' ἐμέ. [17] Aus A ergänzt. V: si creditis sibi finibus abscessissent. Der Text von Æ lässt hier zu wünschen übrig. [18] Æ giebt τρόμος, φόβος wieder. [19] Urspr. πρόβασιν? A: ἄνεσιν. [20] A: Τινάγρῳ. BC: Πιναρίῳ. M: Πινάρῳ. [21] ἀπεχώρισαν.

= A, ὡς οἱ Μ. παῖδες (om. B^L) τελοῦσι παίγνιον BL.

συναποστελῶ ἄνδρας πάσης σωφροσύνης διδασκάλους. τὰς δὲ ναῦς αὐτοῦ εἰς βυθὸν θαλάσσης καταποντίσατε, στρατηγοὺς δὲ τοὺς συνακολουθήσαντας αὐτῷ σιδηρώσαντες ἀναπέμψατε ἡμῖν, τοὺς δὲ λοιποὺς στρατιώτας ἐκπέμψατε εἰς τὴν ἐρυθρὰν θάλασσαν οἰκῆσαι, ἵππους δὲ καὶ σκευοφόρα (ὅπλα add. B) πάντα ὑμῖν δωροῦμαι." Ἔρρωσθε. BL

ἐν παρατάξει etc. – dann fügen BC zu: τέθνηκε δέ τις βαλλόμενος ἢ αἰχμάλωτος ἐλήφθη παραγινόμενος;

√ τῷ τὰς πόλεις λεηλατοῦντι add. BL

καὶ εὐλαβηθεὶς εἰς τὸ δεσπόζεσθαι A, ἃς ἐγὼ εὐλαβηθεὶς ἀεὶ δεσπόζεσθαι

πλείστας μητροπόλεις A, λῃστρικὰς δυνάμεις BL

ἀλλὰ ἀδέσποτον χώραν εὑρὼν αὐτὸς σεαυτὸν ἀποδείξας[1] βασιλέα καὶ συλλέξας ἄνδρας ὁμοίους σοι συλληστάς[2] ἐπεστράτευσας πόλεσιν ἀπειροπολέμοις τῶν Ἑλλήνων, ὧν ἀεὶ εὐλαβηθεὶς οὐκ ἐδέσποζον[3], ἃς ἐγὼ περισσὰς ἡγοῦμαι ὡς ἀπερριμμένας, καὶ ἐζήτησας φόρους παρ' αὐτῶν. Πείθῃ οὖν ἡμᾶς τοιούτους εἶναι, οἵους σὺ ἡμᾶς ὑπολαμβάνεις; τοὺς δὲ τόπους, οὓς εἴληφας[4], οὐ καυχήσῃ[5] ἔχειν. κάκιστα φρονήσαντα περὶ τούτου ὁρῶ σε. πρῶτον μὲν γὰρ ὤφειλες τὴν ἄγνοιάν[6] σου διορθώσασθαι, πρὸς ἐμὲ τὸν κύριόν σου ὑπηρέτης[7] ἐλθεῖν[8] καὶ μὴ ἐπισωρεύειν πλείστην μῆνιν ἐπὶ τῶν σῶν.[9] ἀλλὰ μέχρι τούτου[10] ὡς θεὸς ἀνθρώποις ὀφείλω συγγνωμονεῖν. ἐπεὶ [δὲ] εἰς τοῦτο ἐμὲ ἡ τύχη ἤγαγεν, ὥστε παρὰ Δαρείου ἐπιστολὴν ἀπαιτεῖν [σε][11], ἔγραψά σοι ἐπιστολὴν ἐλθεῖν καὶ προσκυνεῖν Δαρείῳ. ἐὰν οὖν ἄλλης τινὸς ὑπεροψίας ἀντέχῃ, τότε κολάσομαί σε θανάτῳ ἀνεκλαλήτῳ, χεῖρον δὲ σοῦ[12] καὶ οἱ σοὶ πείσονται κακὸν οἱ μὴ περιθέντες σοι σωφροσύνην. Ὄμνυμί σοι τὸν μέγιστον Δία καὶ ἐμὸν πατέρα μὴ μνησικακῆσαι ὧν ἔπραξας."

= A

καὶ om. A ἐπεζήτη

= A, om. BL

41. ριγ'. Ταύτης δὲ τῆς ἐπιστολῆς ἀναγνωσθείσης παρὰ τῷ Ἀλεξάνδρῳ, οὐκ ἐξηγέρθη[13] ἐπὶ τοῖς κομπηγόροις λόγοις αὐτοῦ, ἀλλὰ παρωξύνθη καὶ ὥρμησεν ἐπὶ τὸν πόλεμον. καὶ στρατευσάμενος διὰ τῆς Ἀραβίας εἰς πεδίον ἀντετάξατο ἐκεῖ Δαρείῳ. Οἱ δὲ περὶ τὸν Δαρεῖον ὁρῶντες τὸν Ἀλέξανδρον ἐπάγοντα ἐπ' αὐτὸν[14] τὴν δύναμιν τῆς στρατιᾶς, οἰόμενοι τοῖς δρεπανηφόροις ἅρμασι κατανικᾶν, τότε φθάνοντες τοὺς πλαγίους τόπους κατειλήφασι. καὶ ἐξ ἐναντίας ἔστησαν[15] τὰ ἅρματα καὶ ὅλην τὴν πολεμικὴν παράταξιν ἔταξαν. καὶ τῇ φάλαγγι τῶν ἱππέων οὐκ ἐφῆκαν[16] εἰς τὸ μέσον αὐτῶν διάγειν οὐδὲ τοῖς στρατεύμασιν[17] ἐνάλλεσθαι. ἀλλὰ τὸ πολὺ τῶν ἁρμάτων πάντοσε ἀπαντῶν διεφθείρετο, ἔστι δὲ καὶ ἃ διεσκεδάσθη.

= A, BL om.

ριδ'. Παρὼν δὲ εἰς ἕτερον μέρος Ἀλέξανδρος καὶ ποιήσας κατέναντι αὐτῶν τὸ τῶν Περσῶν εὐώνυμον καὶ τὸ [τῶν Μακεδόνων] δεξιὸν κέρας, ἐν ᾧ τεταγμένος ἔτυχεν Ἀλέξανδρος[18], καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον Βουκέφαλον[19] ἐκέλευσε συνάγεσθαι τοὺς σαλπιστάς, ἀναγγέλλειν πολεμικαῖς σάλπιγξι τὴν μάχην, σημαίνειν πρὸς τὸ ἐξεγείρειν τὴν συνηγμένην φάλαγγα ἐπὶ τὸν θόρυβον τῆς μάχης.[20] καὶ σαλπισάντων [αὐτῶν] καὶ μεγάλης κραυγῆς γενομένης τῶν στρατοπέδων ἐκινήθησαν εἰς ἀναριθμήτους καὶ μεγάλας καὶ πολλὰς μάχας[21]. καὶ ἐσείσθη τὸ πᾶν.[22] Καὶ μετὰ πολλῆς ἀγωνίας βάλλοντες ἀλλήλους εἰς μάχην πολὺν χρόνον, ἐπ' ἄκραις ταῖς πτέρυξι συνάπτοντες πρὸς ἀλλήλους, εὐρώστως ἀντέκειντο ἀλλήλοις τοῖς δόρασι. Καὶ ἐνταῦθα ἑκάτεροι τὸ νῖκος ποιησάμενοι ἐχωρίζοντο ἀπ' ἀλλήλων.[23]

= A

ἐπ' ἄκραις τοῖς σκολο
— — — κεκλεισιν B

---

[1] διαφημίσας. [2] A: ἀνελπίστους. [3] Die Recepta: ὧν ἀεὶ διὰ τοὺς εὐσεβεῖς ἐδεσπόζετε scheint mir unrichtig. l. յերկիւղն վերայ ոչ տիրեալ էի. [4] Æ hat hiernach nochmals οὓς. [5] l. պարծեսցիս st. —ին. [6] M: ἄνοιαν. [7] M: Δαρεῖον. [8] լինել nach գալ ist zu tilgen. [9] 'Die Deinigen'. A: πλείστας μητροπόλεις. [10] Æ: τούτου τοῦ τόπου. [11] Früher nicht erwähnt. [12] l. զքեզ. Æ: τῶν σῶν. [13] Besser A: ἐπτύρη. [14] A: αὐτούς. [15] Æ: 'sie standen'. [16] sc. οἱ Μακεδόνες. [17] Von Æ instrum. gefasst. [18] l. զՊարսից ձախակողմեան և զաջոյ զեհն յորում դէպ եղև . . . [19] Der Name fehlt sonst. [20] Mehr Umschreibung als Übersetzung. [21] M: γίνεται πολλὴ μάχη. Die Häufung der Ausdrücke bei Æ giebt schwerlich Ursprüngliches. [22] κοινῶς. [23] Der Bericht scheint verkürzt zu sein.

ριε'. Οἱ δὲ περὶ τὸν Ἀλέξανδρον ἐξεώθουν τοὺς περὶ τὸν Δαρεῖον καὶ κατακράτος ἔθραυον. καὶ ταραττόμενοι δι' ἀλλήλων [καὶ] πεσόντες καὶ τεθραυσμένοι διὰ τὸ πλῆθος τῶν στρατευμάτων πολλὰ μὲν ὑφ' ἑαυτῶν ἔπασχον, πολλὰ δὲ ὑπὸ τῶν πολεμίων. οὐδὲν δὲ ἄλλο ἦν ἐκεῖ ὁρᾶν, εἰ μὴ [σώματα] τῶν χαμαὶ πεσόντων. οὐ γὰρ ἦν διακρῖναι οὔτε Πέρσας οὔτε Μακεδόνας[1] οὔτε στρατηγὸν οὔτε σατράπην οὔτε ἱππέα οὔτε πεζὸν ὑπὸ τοῦ πολλοῦ κονιορτοῦ. οὐ γὰρ ὁ οὐρανὸς ἐφαίνετο οὐδὲ τὴν γῆν ἑώρα ἄνθρωπος ὑπὸ τῆς πολλῆς γενομένης αἱματεκχυσίας. Καὶ αὐτὸς δὲ ὁ ἥλιος συμπαθήσας τοῖς γεγενημένοις, μὴ δυνάμενος θεωρεῖν τοσαύτην ἔκχυσιν αἱμάτων, σκοτισθεὶς νέφει ἐκαλύφθη. Τροπῆς δὲ ἰσχυρᾶς γενομένης εἰς φυγὴν ὥρμησαν τὰ στρατεύματα τῶν Περσῶν. ἦν δὲ μετ' αὐτῶν καὶ Ἀμύνδας Ἀντιοχεύς,[2] ὃς πέφευγε πρὸς Δαρεῖον. ἐν γὰρ τοῖς ἔμπροσθεν χρόνοις Μακεδὼν ἦν. Ἐβοήθει δὲ καὶ ἡ ὥρα[3], πρὸς ἑσπέραν [γὰρ] ἐκλίθη. Δαρεῖος φοβηθεὶς τὸ ἅρμα ἀπέλιπεν, ἦν γὰρ χαλεπόν, ὅτι ἔμπροσθεν εὐεπίγνωστον ἦν, [καὶ] τὸ ἅρμα καταλείψας ἀναβεβηκὼς ἔφυγεν.

μέτα γῆς ἔτ.

= A

ἵππους χαμαὶ κειμένους ἔτ.

ἀὴρ ἔτ.

Γινέαννος ἀλλ. BCL

| *

ρις'. Ὁ δὲ Ἀλέξανδρος ἀνδρειότερον[4] ἀκολουθήσας Δαρείῳ ἐδίωκεν, ὅπουπερ λέγει τις αὐτὸν εἶναι.[5] Τὸ δὲ ἅρμα καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ὡς σταδίους ἑξήκοντα διώξας κατέλαβεν. Αὐτὸν δὲ τὸν Δαρεῖον ἡ νὺξ διέσωσεν. καὶ πρὸς τούτοις ἵππους ἔχων πολλοὺς καὶ νέους ἐκ διαδοχῆς, ἔφυγεν. Οἱ δὲ Μακεδόνες ἐλθόντες εἰς τὸ μέρος[6] τῶν Περσῶν κατέλυσαν. καὶ μέσης τῆς νυκτὸς γενομένης ἐπὶ τῶν νεκρῶν διενυκτέρευσαν. Ἀλέξανδρος δὲ ἐλθὼν εἰς τὴν σκηνὴν Δαρείου κατέβη καὶ ἐν αὐτῇ ἐσκήνωσεν.[7]

προφθάσαι τοῦ μὴ ὑπό τινος αὐτὸν ἀναιρεθῆναι

τὰ τόξα ἀλλ. ἔτ.

= A; BCL [illegible]

ριζ'. Κρατήσας δὲ τῶν ἐναντίων καὶ τοῦ τηλικούτου ἀξιώματος τυχὼν διὰ τῆς ἄνω προνοίας οὐδὲν ὑπερήφανον ἔπραξεν. ἀλλὰ τοὺς ἀνδρωδεστάτους καὶ εὐγενεῖς[8] ἄνδρας τοὺς τετελευτηκότας ἐκέλευσε θάπτεσθαι. τὴν δὲ μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα μεθ' ἑαυτοῦ ἤγαγεν ἐντίμως. ὡσαύτως καὶ τοὺς ἄλλους καταλοίπους αἰχμαλώτους ἀνέψυξεν. Τῶν δὲ πεσόντων Μακεδόνων ἦν πολύ, πεζοὶ πεντακόσιοι καὶ πεντήκοντα[9] καὶ ἱππεῖς ἑκατὸν ἑξήκοντα, τραυματισθέντες δὲ πλείους ἢ ἑκατὸν καὶ ἑξήκοντα[10]. Τῶν δὲ βαρβάρων ἐτελεύτησαν μυριάδες δώδεκα[11]. * ἐλαφυραγώγησε δὲ χρυσοῦ τετρακισχίλια τάλαντα.

fehlt in BCL

[illegible] = JV, in BCL [illegible]

= JV

ριη'. Ὁ δὲ Δαρεῖος ἀνασωθεὶς πάλιν στράτευμα συναγαγὼν ἐπεστράτευσε τῷ Ἀλεξάνδρῳ, καὶ πλείονι δυνάμει ἢ πρότερον. καὶ ἔγραψεν ἐπιστολὴν τοῖς ὑπ' αὐτὸν ἔθνεσιν, ὅπως μετὰ μεγάλης δυνάμεως ἕτοιμα ὦσι. Μαθὼν δέ τις κατάσκοπος Ἀλεξάνδρου συναθροίζοντα Δαρεῖον στρατεύματα ἐπὶ τοῦ Εὐφράτου ποταμοῦ καὶ τὰς παρεμβολὰς τῶν βαρβάρων τῶν ἐκεῖ κατῳκισμένων [ἰδών], ἔγραψε τῷ Ἀλεξάνδρῳ περὶ τῶν ἐνεστώτων.

42.

= JV, in BCL [illegible]

= JV u. Bi, fehlt in BCL

---

[1] A: οὔτε Πέρσην τοξότην οὔτε Μακεδόνα στρατιώτην. [2] So auch BCL st. ὁ Ἀντιόχου. Dagegen V: Amyntas Antiochi filius. [3] So habe ich nach AV gesetzt. Bei Æ ist καὶ ἐβοήθει zum vorhergehenden Satze gezogen. [4] V: animosius insecutus. l. քաջութեամբ. [5] So nirgends. [6] V: in castra Persica migravere. [7] Von hier an in Cod. A eine Lücke vom Umfang eines Blattes. [8] M: εὐγενῶς. [9] V: septingenti. [10] Dies ist wohl nur eine auf Irrtum beruhende Wiederholung der zuletzt genannten Zahl. M: τριασόσιοι πεντήκοντα. V: duo milia. [11] So auch V, welcher auch in der Angabe über die Beute mit Æ übereinstimmt.

τοιαῦτα μιάσματα συνεχῶς ἐγένετο ἔτ.

= A, fehlt in BCL

[illegible] Δ. μὲν τὸ ἅρμα φοβηθεὶς ὅτι ἔμπροσθεν εὐεπίγνωστον ἦν ἔσχε νυκτὸς ἤλασε εἰς τόπον στενὸν καὶ τὸ μὲν ἅρμα καταλείψας ἵππον ἀναλαβὼν ἔφυγεν.

πεντακόσιοι BCL, septingenti JV

τριακόσιοι B, τρ. πεντήκοντα C, τη L, duo milia JV, πλειοὺς διακοσίων Bi.

* μυριάδες τέσσαρες C – in BL [illegible] ~~πολ~~ πλῆθος πολὺ σφόδρα.

Καὶ γράφει Ἀλέξανδρος· “Σκαμάνδρῳ[1] τῷ ἐμῷ στρατηγῷ χαίρειν. τὴν ριθʹ. ὑπὸ σὲ φάλαγγα καὶ τὴν δύναμιν ἔχων παραγενοῦ πρὸς ἡμᾶς. οὐ γὰρ μακρὰν εἶναι λέγονται οἱ βάρβαροι.”

Αὐτὸς δὲ Ἀλέξανδρος λαβὼν τὴν ἑαυτοῦ δύναμιν ἐπορεύθη εἰς τὴν ρκʹ. Ἀχαίαν[2]. καὶ παραγενόμενος ἐκεῖ πολλὰς πόλεις ὑπέταξε. καὶ ἐκεῖθεν στρατιὰν συλλέξας πλῆθος ὡς μυριάδας ἑπτὰ καὶ δέκα, καὶ ὑπερπεράσας[3] τὸν καλούμενον Ταῦρον καταπήξας δόρυ μεγάλως εἰς τὴν γῆν εἶπεν· “Εἴ τις σθεναρὸς τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων ἢ τῶν ἄλλων βασιλέων βαστάσει τοῦτο τὸ δόρυ, ἑαυτῷ χαλεπὸν σημεῖον ἕξει[4]. ἡ γὰρ πόλις αὐτοῦ ἐκ βάθρων βασταχθήσεται.”

Καὶ παρεγένετο εἰς Πιερίδα πόλιν τῆς Βεβρυκίας, ἔνθα ἦν ναὸς καὶ ρκαʹ. ἄγαλμα τοῦ Ὀρφέως καὶ αἱ Πιερίδες Μοῦσαι καὶ τὰ θηρία αὐτῷ παρεστῶτα. Βλέποντος δὲ τοῦ Ἀλεξάνδρου εἰς αὐτό, ἵδρωσε τὸ ξόανον Ὀρφέως ἐν τῷ προσώπῳ καὶ ἐν ὅλῳ τῷ σώματι. Τοῦ δὲ Ἀλεξάνδρου ζητοῦντος, τί βούλεται τὸ σημεῖον τοῦ ἱδρῶτος εἶναι, εἶπεν αὐτῷ Μέλαμπος[5] ὁ σημειολύτης· “Καμεῖ, Ἀλέξανδρε, μετὰ ἱδρώτων καὶ κόπων τὰ τῶν βαρβάρων ἔθνη καὶ τὰς τῶν Ἑλλήνων πόλεις [καθυποτάσσων] καὶ διὰ θηρίων[6] τὴν ὁδοιπορίαν om. Gr. ποιούμενος, ὥσπερ ὁ Ὀρφεὺς λυρίζων καὶ ᾄδων τοὺς Ἕλληνας ἔπεισε καὶ τοὺς βαρβάρους πρὸς ἔρωτα[7] γλυκεῖ λόγῳ ἔτρεψε καὶ τοὺς θῆρας ἡμέρωσεν.” om. Gr. Οὕτως ἀκούσας Ἀλέξανδρος τὸ σημεῖον ἐτίμησε Μέλαμπον τὸν σημειολύτην.

Καὶ παρεγένετο εἰς Φρυγίαν. καὶ εἰσελθὼν εἰς αὐτὴν τὴν Ἴλιον πόλιν ρκβʹ. ἔθυσεν Ἕκτορι καὶ Ἀχιλλεῖ καὶ τοῖς ἄλλοις ἥρωσι.[8] καὶ θεασάμενος τὸν Σκάμανδρον ποταμόν, δι' οὗ ἥλατο Ἀχιλλεύς, ὅτι πέντε πήχεων οὐκ ἦν τὸ εὖρος[9], καὶ τὸ σάκος Αἴαντος τὸ ἑπταβόειον οὐ πάνυ μέγα οὐδὲ οὕτω θαυμαστόν, ὡς ἔγραψεν Ὅμηρος, εἶπεν Ἀλέξανδρος· “Μακάριοι ὑμεῖς οἱ ἐντυχόντες τοιούτου κήρυκος, τοῦ Ὁμήρου, || [[[10]οἵτινες[11] εἰς τὰ ἐκείνου ποιήματα ἐλθόντες μεγάλοι ἐγράφητε, ἐν τοῖς ἔργοις ἄμοιροι τῶν ὑπ' ἐκείνου γεγραμμένων.” Καὶ προσελθὼν ποιητής τις λέγει αὐτῷ· “Ἀλέξανδρε, κρειττόνως Ὁμήρου τοῦ τὸ ἑπταβόειον εἰπόντος[12] γράψομεν ἡμεῖς τὰς πράξεις σου.” Ὁ δὲ λέγει· “Βούλομαι[13] ἐν τῇ διηγήσει Ὁμήρου

---

[1] M: probabiliter Cassandro emendavit Majus. [2] Nur bei V: Achaia peragrata multisque praeterea civitatibus receptis aut quaesitis, etiam centum et septuaginta milia collegit armatorum, Taurumque transducit. [3] Aus diesem Worte hat Æ infolge von Verlesung den Eigennamen Ὑπερκεράτων gemacht. Die Herausgeber haben nur Κεράτων als Namen gefasst, aus ὑπὲρ dagegen zwei arm. Worte [hup êr = πλησίον ἦν] gemacht. Übrigens merken sie an, dass der Name Keraton sich weder im griechischen noch im lat. Texte vorfinde. — Oder ist aus ‘summo in culmine’ von V etwa auf das Vorliegen von ἐπὶ oder ὑπὲρ κέρατος [sc. τοῦ ὄρους] zu schliessen? [4] St. է ἐστίν l. կայցէ ἕξει. [5] Var. -πους. Bei Plutarch ‘Aristander’ [celebria enim et nobilia facinora editurum Alexandrum, quibus cantandis multum sudoris ac laboris essent poetae musicique impensuri.]. [6] Verm. ընդ գազանս st. —աց. [7] St. des Instrum. wird 'ի mit Acc. zu lesen sein. V: ad favorem sui. [8] V: Hectora Achillemque unaque alios heroas. [9] Eine so wunderliche Auffassung der Homerstelle auch bei Pseudo-Ambrosius [Cureton Spicileg. syr.]. [10] Der in Doppelklammer stehende Abschnitt ist, da er in allen umfangreicheren arm. Handschriften fehlte, von den Herausgg. teils aus dem Griechischen, teils aus Valerius [durch runde Klammer bez.] übersetzt. [11] Æ: ὅ τι γὰρ ἦτε — quidquid fuistis. [12] ‘besingen’. [13] w: εὐκτόν ἐστί μοι.

[Syr., Arm., [illegible] hist.

I, 42.43.44, 45.

=JVc.42. Θερσίτης εἶναι ἢ ἐν τῇ ὑμῶν Ἀχιλλεύς.[1]" (Μέχρι τούτου τοῦ τόπου
ἀκολουθοῦσα αὐτῷ καὶ συνεργοῦσα ἡ μήτηρ Ὀλυμπιὰς μετὰ τὸ συγκατακλίνεσθαι
αὐτῷ ἀποπέμπεται ὑπ᾽ αὐτοῦ εἰς τὴν Μακεδονίαν σὺν πλήθει
εὐγενῶν αἰχμαλώτων. αὐτὸς δὲ ἐπ᾽ εὐθείας πρὸς τὸν Δαρεῖον τὴν ὁδοιπορίαν
ἐποιήσατο.

ρκγ΄. Καὶ ἦλθε διαπορεύεσθαι διὰ τῆς πόλεως Ἀβδήρων). τῶν δ᾽ Ἀβδηριτῶν 43.
ἀποκλεισάντων τὰς πύλας τῆς πόλεως αὐτῶν, ὀργισθεὶς ὁ Ἀλέξανδρος
ἐκέλευσε τοὺς στρατηγοὺς αὐτοῦ ἐμπρῆσαι τὴν πόλιν. Οἱ δὲ πρέσβεις
πέμψαντες πρὸς αὐτὸν λέγουσιν· "Οὐχ ὡς ἀντιτασσόμενοι τῷ σῷ κράτει
ἐκλείσαμεν τὰς πύλας, ἀλλὰ δεδοικότες τὴν τῶν Περσῶν βασιλείαν, μήπως
τῇ τυραννίδι Δαρεῖος ἐπιμείνας πορθήσῃ τὴν πόλιν ἡμῶν. (ἀλλ᾽ ὅταν
ἐπανέλθῃς νενικηκὼς) τῷ ἀναμφιλέκτως ἰσχυροτέρῳ βασιλεῖ ὑποταξόμεθα."
Ὁ Ἀλέξανδρος ἀκούσας ταῦτα ἐμειδίασε καὶ εἶπε τοῖς πρέσβεσι· "Δεδοίκατε
παρὰ Δαρείου, μήπως ἐπιμείνας τῇ ἀρχῇ ἐκπορθήσῃ ὑμᾶς; πορεύεσθε
καὶ ἀνοίξατε καὶ μείνατε ἡσύχως. ἕως γὰρ τὴν νίκην σχῶ παρὰ τοῦ
οὐρανοῦ κατὰ τοῦ Δαρείου, οὐκ εἰσέρχομαι εἰς τὴν πόλιν. καὶ τότε (οὐχ
ὡς ξένος, ἀλλ᾽ ὡς φίλος ἔσομαι ὑμῖν.)" Ταῦτα εἰπὼν πρὸς τοὺς πρέσβεις
τὴν ὁδοιπορίαν ἐποιεῖτο καὶ παρεγένετο ἐν δυσὶν ἡμέραις εἰς τὴν Βιωτίαν[2] 44.
καὶ τὴν Ὄλυνθον καὶ ἐξεπόρθησεν ὅλην τὴν χώραν τῶν Χαλκιδέων.[3]
Κἀκεῖθεν ἦλθεν ἐπὶ τὸν Εὔξεινον πόντον[4] καὶ πάσας τὰς ἔγγιστα πόλεις
ὑπέταξεν. οὐδεὶς γὰρ ἦν, ὃς τοσούτῳ κράτει ἀντιστῆναι ἐτόλμα.[5] (Καὶ
μεγαλοπρεπῶς θύσας τῷ Ποσειδῶνι ἐπορεύθη πρὸς τὴν Μαιῶτιν εἰς τόπους
σκληροὺς καὶ ἀβάτους.

ρκδ΄. Ἐπεὶ δ᾽ ἐπέλιπον τὰ ἐπιτήδεια τοὺς στρατιώτας[6], ἐκέλευσεν αὐτοὺς
ἀποσφάζειν τοὺς ἵππους καὶ ἐσθίειν. Οἱ δὲ καίπερ ἀναγκαίως τὸ προστεταγμένον
ποιήσαντες, ἀλλ᾽ ἐπλήσθησαν ταραχῆς καὶ λύπης, ὡς ἀπὸ γνώμης
ποιήσαντος αὐτοῦ τοῦτο, ἵνα μὴ τὰ μέλλοντα ἐλπίσωσιν. Διὰ τοῦτο ἐπεὶ
ἐπαύσαντο οἱ νόμοι τῆς στρατεύσεως παρ᾽ αὐτοῖς καὶ αἱ εἰθισμέναι φυλακαί,
ὁ βασιλεὺς αὐτὸς δημηγορήσας πρὸς αὐτοὺς εἶπεν· "Οὐκ ἀγνοῶ, ὦ
στρατιῶται, ὅτι ἐν τῷ πολέμῳ ἀναγκαιότεροι πάντων οἱ ἵπποι εἰσίν, οὓς
ἐκέλευσα ἀποσφάζεσθαι καὶ λαμβάνεσθαι εἰς τροφήν. ἀλλ᾽ ὅτε γνωστὸς
ἦν ὁ δισσὸς κίνδυνος, ὅπως ἢ αὐτοὺς φαγόντες βιωσόμεθα, ἢ διασώζοντες
αὐτοὺς σὺν αὐτοῖς ἢ πρότερον αὐτῶν ἀπολούμεθα, — τολμῶ λέγειν — τὸ
βέλτιον ἐκλέξας ἐπεβαλόμην ἀπὸ τοῦ ἥττονος ἀπαλλαχθείς.[7] Διὰ τοῦτο
τὴν ἐλπίδα παρέχω ὑμῖν, ὅταν χαρίσωνται ἡμῖν οἱ θεοὶ τῶν ἐθνῶν τι
ὑποτάσσειν καὶ τῶν ἀφθόνων σίτων ἐκείνων πληροῦσθαι, καὶ τοῦτο τὸ
κακὸν τὸ τῶν ἵππων παρελεύσεσθαι[8]. Ἠδυνάμην ἂν οὖν τάχα ἑτέρους
στρατιώτας εὑρίσκειν ἀντὶ)]] τῶν τῷ λιμῷ ἀπολωλότων, ἑτέρους δὲ Μακεδόνας
ἐς τὸ παρὸν ποῦ δυνήσομαι εὑρίσκειν;"

ρκε΄.[9] Καὶ πραΰνας τὰ στρατεύματα τὴν ὁδοιπορίαν ἐπ᾽ εὐθείας ἐποιεῖτο εἰς 45.
ἑτέρας πόλεις. Ἦλθε δὲ πρὸς τοὺς Λοκροὺς καὶ ἀνεπαύσατο ἐκεῖ μετὰ

---

[1] M: Ἀγαμέμνων. [2] Wohl Correktur des Übersetzers. M: Βοττείαν. [3] Æ: Χαλδαίων, wie BC. [4] Æ: ποταμόν. [5] Dieser Satz fehlt sonst. [6] Hier ist die Lücke in A zu Ende. [7] Die Meinung von V wäre einfacher wiedergegeben durch: զլաւագոյն խորհուրդ ընտրեցի փոխանակ վատթարի. [8] Die dabei stehende Negation ist mir unverständlich. [9] Das Folgende bis ρν. findet sich nur in A, V und Æ.

Πῦρ τε ταῖς πύλησι προσφέρεσθαι ἔφ.

τῶν στρατευμάτων ἡμέραν μίαν. Καὶ παραπεμψάμενος πάντας, οὓς εἶχεν, ἦλθεν εἰς τοὺς Ἀκραγανθίνους. Καὶ εἰσελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἠξίου τὴν Φοιβολάλον μαντεύσασθαι αὐτῷ. Ἡ δὲ λέγει, [ὅτι] οὐκ ἔστι χρησμοδοτεῖν αὐτῷ ἐν τῷ μαντείῳ αὐτῆς. Καὶ ὀργισθεὶς ὁ βασιλεὺς εἶπεν· "Εἰ μὴ βούλει μοι μαντεύσασθαι, βαστάξω κἀγὼ τὸν τρίποδα, ὃν Κροῖσος ὁ τῶν Λυδῶν[1] βασιλεὺς ἀνέθετο, ὥσπερ Ἡρακλῆς ἐβάσταξε τῶν θεῶν [μὴ] χρησμοδοτούντων αὐτῷ." Καὶ ταῦτα λέγων ἐβάσταξε τὴν Φοιβολάλον καὶ[2] τὸν τρίποδα, ὃν Κροῖσος ὁ βασιλεὺς ἀνέθετο. = Syr., IV, Bi, gegen A. Ἦλθε δὲ ἀπὸ τοῦ ἀδύτου φωνὴ Ἀλεξάνδρῳ τοιαύτη τις· "Ἡρακλῆς, Ἀλέξανδρε, τοῦτο ἐποίησε θεὸς θεῷ[3]. σὺ δὲ θνητὸς εἶ, θεοῖς μὴ ἀντιτάσσου. αἱ γὰρ πράξεις σου μέχρι τῶν θεῶν ἐλαλήθησαν.[4]" Οὕτω τῆς φωνῆς ἐλθούσης εἶπεν ἡ Φοιβολάλος μάντις· "Ἀλέξανδρε, αὐτὸς ὁ θεὸς ἐμαντεύσατό σοι προσαγορεύσας σε τῷ ἰσχυροτέρῳ ὀνόματι. ἐβόησε γὰρ ἐξ ἀβύσσου· "Ἡρακλῆς Ἀλέξανδρε." Τοῦτό σοι προμηνύω, ὅτι ἰσχυρότερόν σε δεῖ γενέσθαι πάντων."[5]

46. Ὁ δὲ Ἀλέξανδρος λαβὼν τὰ στρατεύματα ἐπορεύετο εἰς τὰς Θήβας, ρκϛ'. καὶ ᾔτησεν αὐτοὺς στρατιώτας[6] τοὺς ἀρίστους ἄνδρας τετρακισχιλίους[7] καὶ τοὺς φόρους. = Bi, Syr., IV mil om. A Οἱ δὲ Θηβαῖοι ἀπέκλεισαν τὰς πύλας καὶ οὐδὲ πρέσβεις ἔπεμψαν πρὸς αὐτόν, ⌈μήτε δεξάμενοι ἀλλὰ ἀντιταξάμενοι[8] καθωπλίσθησαν πρὸς τὸν Ἀλέξανδρον. Ἐλθόντες δὲ ἐπὶ τὸ τεῖχος ἔνοπλοι πεντακόσιοι[9] ἐκήρυξαν τῷ Ἀλεξάνδρῳ καὶ εἶπον· "Ἢ πολέμει ἢ ἄπελθε ἀπὸ τῆς πόλεως." Ἀλέξανδρος δὲ μειδιάσας οὕτως εἶπεν· "Ὦ γενναῖοι Θηβαῖοι, τί ἀπεκλείσατε ὑμᾶς ἐντὸς τοῦ τείχους καὶ τοῖς ἐκτὸς παρακελεύεσθε πολεμεῖν; κἀγὼ διὰ τὴν μάχην ἐλήλυθα[10] καὶ μαχέσομαι πρὸς ὑμᾶς οὐχ ὡς πρὸς πόλεις[11] καὶ γενναίους ἄνδρας καὶ ἐμπείρους τοῦ πολεμικοῦ σιδήρου, ἀλλ' ὡς πρὸς ἀγροίκους καὶ ἰδιώτας καὶ πάνυ[12] δειλούς. ἤδη γὰρ πάντας δορυαλώτους ὑπηκόους ἔχω. ὑμεῖς οὖν ἑαυτοὺς ἐνεκλείσατε ἐντὸς τῶν τειχῶν, καὶ [πρὸς τοὺς] ἔξω ἀέρινον[13] κραυγὴν βάλλετε.[14] Ἀρίστων γὰρ ἀνδρῶν ἐστιν ἐν ἐλευθέρῳ καὶ ἀνεῳγμένῳ πεδίῳ μάχεσθαι, om. A γυναικῶν δὲ ἔργον ἐστὶν ἀποκλείειν ἑαυτὰς φόβῳ πρὸς τοὺς ἀγῶνας[15] τοὺς μέλλοντας."

Ταῦτα εἰπὼν ἐκέλευσε χιλίους[16] ἱππέας περιτρέχειν ἔξω περὶ τὴν πόλιν ρκζ'. = Syr., IV, L, hist. καὶ τοξεύειν τοὺς ἐπὶ τῶν τειχέων. ἑτέρους δὲ χιλίους[17] στρατιώτας ἐκέλευσεν ἀξίναις καὶ διστόμοις πέλυξι καὶ μακροτόμοις ὄνυξι καὶ μακροτάτοις[18] μοχλοῖς ὀρύσσειν τὰ θεμέλια, καὶ τοὺς ὑπ' Ἀμφίονος καὶ Ζήθου ἀδελφῶν[19] nur in Bi τῇ λύρᾳ ἁρμολογηθέντας λίθους διαμοχλεύοντας καταρρίπτειν,[20] ⌈καὶ τοὺς καλουμένους κριοὺς μεγάλῃ βίᾳ ἐρείδεσθαι πρὸς τὴν τῶν τειχῶν διάλυσιν. ἔστι δὲ[21] τοῦτο ὄργανον μηχανῇ τροχοὺς ἐχούσῃ διὰ τῶν[22] στρατιωτῶν βίᾳ συνωθούμενον[23], μακρόθεν δὲ ἐξαφίεται πρὸς τὸ τεῖχος καὶ ῥᾳδίως διὰ ἐῤῥωμένης βολῆς τοὺς πάνυ πυκνῶς ἁρμολογηθέντας καὶ ἁρμοσθέντας τοίχους καταβάλλει. Αὐτὸς δὲ μεθ' ἑτέρων χιλίων σφενδονιστῶν[1] ἀποκτείνων κατασκάπτειν τὰς Θήβας περιήρχετο πάντη. πῦρ[2], ξίφος καὶ λίθοι [illegible] καὶ βέλεμνα καὶ δόρατα ἠκοντίζοντο εἰς τὴν πόλιν.[3] ἀλλ' ἡ χεὶρ Μακεδονικὴ οὐκ ἐκοπίασε τὸν πολυσφαγῆ σίδηρον αἱματώσασα. ἀβοήθητοι οἱ Θηβαῖοι φρενομανεῖς ὑπ' Ἀλεξάνδρου ἀπώλοντο.

---

[1] Æ: Ἐλυργῶν. [2] A: τὸν φοιβολάλον τρίποδα. [3] Æ offenb. unrichtig: θεὸς ἐκ θεοῦ. [4] A: λαληθῶσι. [5] A hat den Zusatz: ἐν ταῖς πράξεσι καὶ εἰς τοὺς αἰῶνας μνημονεύεσθαι. [6] A: στρατεύεσθαι. [7] Hiernach war in A δ geschrieben. [8] A: μήτε δεξάμενοι. [9] Zahl fehlt bei A. [10] Dieser Satz fehlt bei A. [11] Æ hat viell. auch eine verstümmelte Lesart vor sich gehabt, wie πολ' von A ist, und hat diese πόλεις gedeutet. Besser verm. M: πολεμικούς. [12] Bei A hinter δειλούς und zum Folgenden gehörig. [13] l. զօղական. [14] καὶ — βάλλετε fehlt bei A. [15] Bei A verstümmelt. [16] So auch V. A: δ. [17] A: β. [18] A: σιδηρίοις. [19] κ. Ζ. ἀ. fehlt bei A. [20] Zusatz bei A: πῦρ τε. ταῖς πύλησι προσφέρεσθαι. [21] A: ἔτι δὲ τὰ ὄργανα. [22] Æ: τριῶν. [23] l. Partic.

1. A. 6

— πάντη [illegible]
[illegible]

ρχη΄. Καὶ τότε Ἰσμηνίας τις Θηβαῖος, τῆς αὐλομελῳδίας ἔμπειρος καὶ ἄνθρωπος σοφὸς τῇ γνώμῃ, ὁρῶν τὰς Θήβας[4] καταῤῥιφείσας καὶ ἐκριζωθείσας καὶ πᾶσαν τὴν ἡλικίαν[5] ἀναιρουμένην[6], στενάξας πικρῶς ὑπὲρ τῆς πατρίδος αὐτοῦ, καὶ διὰ τῆς τῶν αὐλῶν[7] ἐμπειρίας ἀριστεύων[8], ἄρχεται καὶ νοεῖται τοὺς αὐλοὺς βαστάζειν καὶ παρὰ τοὺς πόδας τοῦ βασιλέως γονυκλινὴς γενέσθαι καὶ οἰκτρόν τι καὶ ἐμπαθὲς[9] καὶ ἐλεημονικὸν μέλος ἀναμέλψαι[10], ὅπως διὰ τῆς τῶν αὐλῶν δεήσεως καὶ θρήνους μελῳδήσας δυνηθείη εἰς ἔλεος καταγαγεῖν τὴν καρδίαν τοῦ βασιλέως. Ἔκρινε δὲ ὁ Ἰσμηνίας μέλη ἠθικὰ[11] καὶ λόγους γλυκεῖς προσενέγκασθαι τῷ δυνάστῃ. καὶ τὴν χεῖρα προτείνας μετὰ πολλῶν δακρύων ἄρχεται λέγειν τοιαῦτα μέλη ἐμπαθῆ καὶ θρήνους.

Μέλος Ἰσμηνίου παρὰ τῷ κοσμοκράτορι.

ρχθ΄. Βασιλεῦ καὶ ἔκγονε θεῶν, λαμπρότατε καὶ κάλλιστε Ἀλέξανδρε, νῦν πείρᾳ μαθήσομαι τὸ σὸν ἰσόθεον κράτος. καὶ σεβόμεθα ἀπὸ τοῦ νῦν ὡς θεὸν εὐεργέτην. ἐπίσχες τὴν ἀνίκητον χεῖρα ἀπὸ τῶν Θηβαίων, μήπως ἀγνοῶν δόξῃς πρὸς τοὺς οἰκείους καὶ συγγενεῖς σου ἀσεβεῖν. Διόνυσος γὰρ καὶ Ἡρακλῆς Θηβαῖοι καὶ ἔνδοξοι καὶ προγονικῆς μίξεως ἀρχίγονον βλάστημα. Διὸς καὶ Σεμέλης πυρὶ λοχευτὸς[12] Διόνυσος ἐγεννήθη, ὁ δὲ Ἡρακλῆς ὑπὸ Διὸς καὶ Ἀλκμήνης ἐσπάρη. Οὗτοι πᾶσιν ἀνθρώποις βοηθοὶ καὶ εἰρηνικοί, σωτηρίας φύλακες ἐφάνησαν, σοῦ δέ εἰσι προπάτορες, ὦ νικηφόρε Ἀλέξανδρε. τούτους φύσει χρή σε μιμήσασθαι καὶ εὐεργετεῖν. Ὡς θεοῦ γεννώμενον σπέρμα μὴ ὑπερίδῃς τοὺς Διονύσου καὶ Ἡρακλέους τροφοὺς τὰς Θήβας διαφθείρων, μηδὲ τὴν βοόκτιστον πόλιν κατασκάψῃς. ὄνειδος γὰρ ὕστερον τοῖς Μακεδόσι γενήσεται. Ἀγνοεῖς, Ἀλέξανδρε, ὅτι Θηβαῖος εἶ καὶ οὐχὶ Πελλαῖος; ὅλη σε Θηβαίων χώρα λιτανεύει τοὺς σοὺς προπάτορας[13] κομίζουσα θεούς, Ληναῖον αὐλητῆρα Διόνυσον[14] μετ' εὐφροσύνης καὶ χορῶν, σὺν ᾧ[15] Ἡρακλέα δίκαιον ἔργοις καὶ βοηθείᾳ[16] ἀνθρώπων. Ἤδη μιμητὴς γενόμενος τῶν σῶν προγόνων ἀγαθῶν καὶ ἀνδρείων εἰς πολλὴν εὐεργεσίαν τράπηθι ἀπὸ τῆς ὀργῆς, πρόχειρον πρὸ τοῦ κολάζειν τὸ ἐλεεῖν ἔχε. Μὴ θῇς ἐρήμους τούς σε σπείραντας θεούς. τῶν σῶν γενεαρχῶν μὴ καθαιρήσῃς πόλιν, σοῦ τὴν ἰδίαν πατρίδα, μηδὲ ἀγνοῶν κατασκάψῃς τοιαῦτα τείχη δεδομημένα ὑπὸ Ζήθου καὶ Ἀμφίονος.

= Bi. [illegible] A.

---

[1] Von d. Herausgg. nach V eingesetzt, da die arm. Handschriften teils unlesbar waren, teils Unpassendes boten und auch die eingesehene griech. Hds. lückenhaft war. Jedoch ἀντίγρ. ἀμφίβ. bot πελταστῶν. [2] A: Πῦρ μὲν οὖν ἦν πάντη. [3] Hier hat A 21 Zeilen mehr. [4] Æ: Θηβαίους. [5] l. հասակ. [6] A: αἱρουμένην. [7] Æ: ἄλλων. [8] l. լինալ [լեալ] st. լինել. [9] A: καταδεές. [10] l. Infin. [11] Doch 4 Codd. geben ἐλεεινός, δεητικός [A]. [12] Verm. Հրածին. [13] l. Նախահարս. [14] Æ: αὐλητῆρος Διονύσου. [15] l. Sing. [16] Oder mit Var. βοηθόν.

τῇ γὰρ ᾠδῇ καὶ μέλει λύρας οἱ Ζῆνος υἱοὶ[1] [δεδομήκασιν], οὓς λάθρα ἔτεκε νύμφη ἡ Νυκτέως παῖς ἐν χοροῖς πλανηθεῖσα[2]. Τὰ θεμέλια ταῦτα καὶ τὸ πλούσιον δῶμα πυργοειδῶς ἔκτισε Κάδμος. Ὧδε λαμβάνει τὴν νύμφην[3] Ἁρμονίαν, ἣν ἔτεκεν ἡ ἀφρογενὴς Κύπρις τῷ κλεψικοίτῃ Θρηκίῳ[3] συμμιγεῖσα. Τὴν σὴν ἄρουραν ἀκρίτως[4] μὴ ἐρημώσῃς, μηδὲ καταφλέξῃς πάντα τὰ τείχη Θηβαίων. Βασιλέως Λαβδακίδου[5] ἐστὶ δῶμα τοῦτο. ὧδε ἔλαβε γυναῖκα ὁ δυσδαίμων, καὶ τὸν ἄθλιον πατροκτόνον, τὸν οἰκτρόν Οἰδίπουν, ἔτεκεν[6] ἡ λυγρὰ μήτηρ. τοῦτο Ἡρακλέους τέμενος ἦν, ἀλλὰ τὸ πρῶτον Ἀμφιτρύονος οἶκος ἦν. ὁ δ'[7] ἐκοιμήθη[8] τρεῖς νύκτας ὁ Ζεὺς εἰς μίαν ἀριθμήσας[9]. Ὁρᾷς ἐκείνους τοὺς περιπεφλεγμένους οἴκους ἀκμὴν[10] καταστάζοντας τὴν τοῦ οὐρανοῦ μῆνιν; ἐνθάδε τὴν ποθουμένην πλήσσει Σεμέλην ποτὲ ὁ Ζεύς. Ἰδού, ἐν μέσῳ τοῦ πυρὸς τὸν Εἰραφιώτην[11] ἀπεκύησε τὸν Διόνυσον, τὸν Ληναῖον. Ὧδε Ἡρακλῆς μέμηνεν. ἔνθεν καὶ Ἡρακλῆς οἰστρηθεὶς[12] μανίᾳ ἀνεῖλε Μεγάραν τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐτόξευσεν. Οὗτος ὁ βωμός, ὃν βλέπεις, Ἥρας ὑψίβατος ᾠκοδομημένος. διωρισμένος ἐστὶ βωμὸς ἀρχαῖος[13], ἐν ᾧ Ἡρακλῆς [ἐνδὺς] χιτῶνα σάρκα δαρδάπτοντα[14] κατεβρώθη [θεὶς ἐν] χερσὶ Φιλοκτήτου [τὰ βέλη] ἐν αἵματι δράκοντος [βεβαμμένα]. Ταῦτά ἐστι τοῦ Φοιβολόγου[15] Τειρεσίου δώματα, ὃς τριῶν γενεῶν καὶ αἰώνων [ἐγένετο],[16] ὃν εἰς γυναῖκα μετετύπωσε Τριτωνίς. Ἀθάμας μανεὶς ἐνταῦθα τὸν παῖδα αὐτοῦ Λέαρχον τόξῳ ἀνεῖλεν εἰς νεβρὸν τυπωθέντα. Ἐνταῦθα Ἰνὼ[17] ἥλατο εἰς τὸ βυθοῦ κῦμα σὺν Μελικέρτῃ παιδὶ λυσσώδης.[18] Ἔνθεν ὁ πηρὸς Οἰδίπους ἀπηλάσθη ταγαῖς Κρέοντος, οὗ τὸ βάκτρον Ἰσμήνη.[19] καὶ οὗτος ὁ ἀπόῤῥους, ὃς ἐν μέσῳ[20] Κιθαιρῶνός ἐστιν, Ἰσμηνός ἐστι Βακχεῖον ὕδωρ φέρων. ἐλάτην ὁρᾷς[21] εἰς ὕψος ἀρθεῖσαν κλάδοις; ἐνθάδε Πενθεὺς τοὺς τοῦ Πανθέου[22] χοροὺς βουλόμενος κατοπτεύειν πρὸς τῆς τεκούσης μητρὸς δυστυχὴς διεσπάσθη. Πηγὴν ὁρᾷς κατάγουσαν αἱματόεν ὕδωρ, ἐξ ἧς[23] βοὸς δεινὸν μύκημα ἠχεῖται; τουτέστι ῥεῦμα τῆς σεσυρμένης Δίρκης[24], Λύκου γυναικός.[25] Ὁρᾷς ἐκείνην λείαν ἀκρώρειαν τὴν ἐξέχουσαν αὐτοῦ [-ῆς] τῆς ἀταρπιτοῦ; παρ' αὐτῇ ἕζετο[26] ἡ Σφίγξ, ἐν ᾗ ἐδέθη μῖξις τεράστιος[1], ποιοῦσα ἐν μέσῳ τῶν λαῶν ἀπειθίαν καὶ ἔριν.[2] ἣν Οἰδίπους ἀνεῖλ' ὁ πολλὰ μερμήρας. Αὕτη θεῶν πηγή ἐστι καὶ θαυμαστὴ κρήνη, ἐξ ἧς ἀναβλύζουσιν ἀργυραῖ νύμφαι. εἰς τὰ λιβάδια[3] Ἄρτεμις κατελθοῦσα πλύνασα τὸ σῶμα καὶ καθήρασα ἐφαιδρύνθη. ὁ δὲ δύσαγνος[4] Ἀκταίων ἃ μὴ θέμις (καὶ ἄξιον λέγειν) κατεῖδε τὰ λοῦτρα τῆς Λητῴας, οὗ[5] μεταλλαγὲν εἰς ἔλαφον σῶμα κυσὶ σαρκοβόροις[6] διὰ τὸ λοῦτρον ἠγρεύθη. Παῖδες[7] δὲ ἐπολέμησαν ἐπὶ Θήβας. ἔνθεν Πολυνείκης ἤγαγε τὸν τῶν Ἀργείων λεὼν στρατιὰν[8] λογχοφόρος τὸ ἑπτάπυρον[9] ῥεῦμα. Ἐνταῦθα Καπανεὺς παρὰ τὰ τείχη ἐφλέφθη. καὶ τὰς μὲν πύλας ταύτας καλοῦσιν Ἠλεκτραίας. Πύλαις δὲ παρὰ Προιτίσιν[10] ἀνεῳγμέναις ἄρρηκτον Ἀμφιάραον χαίνουσα κατέπιεν ἡ γῆ. Ὠγυγίαις τρίταις ἐγκλεισθέντα παρὰ πύλαις Ἱππομέδοντα Ἱπποσθένους[11] υἱὸς ἀναιρεῖ. ἔπεσε Νηΐσταισι[12] πρὸς πύλαις ταύταις Παρθενοπαῖος. ὅτε εἰς τὴν γῆν ἦλθεν εἰς πύλας ταύτας ὀλετὴρ μυρίων ἐκλήθη [?]. Θαῤῥῶν Τυδεὺς ὁ Καλυδώνιος Ὁμολωΐσι[13] παρέστη [πύλαις]. Ἐνταῦθα Πολυνείκης καὶ Ἐτεοκλῆς δι' ἀλλήλων ἐπλήγησαν. Ἐνταῦθα Ἄδραστος ἔφυγε καὶ ἀπέθανε [?]. Αὗται αἱ πύλαι..... καὶ ἡ πόλις τῶν Θηβαίων ἔθαψε τοὺς λοχαγοὺς τῶν Ἀργείων.[14]

---

[1] Æ: σὺ Ζῆνος υἱέ. [2] l. *մոլորեալ* st. *մոլեալ* μανεῖσα. [3] l. Sing. [4] l. *Համարելոյ*. [5] Æ: Λαβδάκου. [6] l. *ծնաւ* st. *և*. [7] ὧδε? [8] l. *ննջեաց* st. *տրտնջեաց* [ἐγόγγυζε]. [9] M: ἀθροίσας. [10] = ἔτι. [11] Æ: Ῥαφιώτην. [12] Æ: ἐξελθών [Verlesung]. Doch war viell. *մոլեալ* ursprünglich [μανείς]. [13] Hier folgt bei Æ: εἰς οὓς Ἡράκλυτ[ος] — was doch nur eine andere Lesart für das Folgende ist. [14] Æ: χιτῶνα ὑπ' Ἀρκάδος ῥάπτοντα. [15] Æ wie A: Φοίβου λόγια. [16] Hier folgt bei Æ der m. E. unberechtigte, übrigens auch unverständliche Zusatz: Ἐνθάδε ἐστὶ ποταμός, ὃν εἰς γυναῖκα ... Der Relativsatz bringt eine Aussage über Tiresias, in welcher freilich zwei Sagen vermischt sind, nämlich: 1. Athene blendete Tiresias [Pherecydes] — und 2. T. wurde in eine Frau verwandelt [Hesiod]. [17] Æ irrig: *'ի նաւ* st. *Ինաւ*. [18] l. *կատաղի*. [19] Æ: οὗ τὸ βάκτρον μάχην [ὑσμίνην] ἔπνει. [20] A: ἐκ μέσου. [21] Æ: ἐλ. ἣν ... [22] Wohl = Διονύσου. So hat A auch I 7 [M A. 2] Διονύσου Πανθεοῦ. [23] w: ἐξόπισθεν ἧς ... [24] l. *քարշեցելոյ Դիրկայ* st. *գարշեցելոց գրկաց* [βδελυκτῶν ἀγκαλῶν]. [25] Æ hat Λύκου γυναῖκα in den folg. Satz gezogen, der überdies bei ihm wenig verständlich ist. [26] Æ statt dessen: ἡμετέρα.

ρλ'. Τοσαῦτα Ἰσμηνίας ἱκέτευσε τὸν βασιλέα καὶ παρεκτάθη πεσὼν παρὰ τοὺς πόδας Ἀλεξάνδρου.

ρλα'. Ἐνταῦθα ὠργίσθη ὁ βασιλεὺς Ἰσμηνίᾳ τῷ ἀοιδῷ, ὅτι πάνυ πολλοῖς μύθοις ἔθλιψε. καὶ ἐν αὐτῷ πολὺν χρόνον τὸ ὄμμα πήξας[15] καὶ τοὺς ὀδόντας συντρίβων πλέως θυμοῦ καὶ ὀργῆς εἶπεν οὕτως· "Μύθους[16], ὦ παγκάκιστον ἐκλόχευμα Καδμείων, ὦ ἀγριώτατον βλάστημα ἀθλίας ῥίζης, ὦ παγκάκιστε ἄνθρωπε καὶ θεοῖς μῖσος[17], ὦ τῆς ἐπ' Ἰσμήνης[18] λείψανον λύπης, τυφλὲ τοὺς ὀφθαλμοὺς καὶ τὸν νοῦν; σοφιστικοὺς καὶ πεπλασμένους μύθους εἰπὼν ὑπέλαβες πλανᾶν τὸν Ἀλέξανδρον; ἢ[19] γὰρ πᾶσαν τὴν πόλιν καθαιρήσω καὶ πυρὶ κοσκινίσω[20] [καὶ] τὰς τῶν πατριαρχῶν τεφρώσω ῥίζας. εἰ γὰρ σὺ γιγνώσκεις μου τὴν σποράν, καὶ πόθεν πέφυκα καὶ τίνες εἰσὶν οἱ γονεῖς μου, οὐ χρῆν σε κηρύττειν τοῖς Θηβαίοις ταῦτα; "Ἡμῖν συγγενής ἐστιν Ἀλέξανδρος. μὴ πρὸς πολίτην ἡμῶν πολεμήσωμεν. δῶμεν αὐτῷ συμμαχίαν τῶν στρατιῶν. βοηθοὶ ὦμεν ἡμῶν τῷ πολίτῃ καὶ συγγενεῖ Ἀλεξάνδρῳ. δόξα ἐστὶν ἡμῖν καὶ βεβαίωσις τῆς ῥίζης, ἐὰν οἱ Μακεδόνες μιγέντες ἑνωθῶσι σὺν τοῖς Θηβαίοις." Ὅτε δὲ εἰς ἄμυναν ὑμῶν οὐκ ἠδύνασθε[21] ἀνέχειν ἢ ἰσχύειν — τὸ γὰρ θράσος τῆς μάχης ὑμῶν νοσοῦν κατῃσχύνθη — τότε μεταβολὴ καὶ δέησις καὶ ἀξίωμα ἀνελεύθερον καὶ μωρόν. οἳ[22] μὴ δυνάμενοι σωφρονοῦντες αἱρεῖσθαι, [μᾶλλον] ἠβούλεσθε[23] τὴν δόξαν, [ὅτι] δύνασθε πρὸς μάχην Ἀλεξάνδρου.[24] Ἀλλ' οὐ τοῖς Θηβαίοις

---

[1] Æ: τεραστίου.

[2] ἀπ. κ. ἐ. durch ein Compositum ausgedr.

[3] Statt dessen Æ: ἐξ ἧς ἅμα βλύζουσι καλοὶ χῶροι καὶ ῥύακες, Ἄρτεμις . . .

[4] l. **անսուրբ** st. **սուրբ** ἁγνός.

[5] l. **որոյ** st. **—ոյ**.

[6] A: ὁμοδιαίτοις.

[7] M: ἐν πᾶσιν Ἄρης ἐπολέμησε Θήβας.

[8] M wohl richtig: στράπτων.

[9] ἑπτάπυργον? [Die sieben Helden als πύργοι betrachtet].

[10] Æ: διὰ πυλῶν προΐασιν ἀνεῳγμένων καὶ διὰ τῶν ἀῤῥήκτων.

[11] Æ: τὸν Ἱπποσθένους.

[12] Æ: πεσὼν εἰς χεῖρας λῃστῶν.

[13] Æ: μολών.

[14] Bei A folgen noch einige Schlussverse.

[15] A: ὄμμα μηκύνας καὶ τοὺς ὀδόντας τοῖς ὀδοῦσι συντρίζων.

[16] Wahrscheinlicher A: τοῖον εἶπε τὸν μῦθον· Ὦ παγκάκιστον ...

[17] w: μισητέ.

[18] Æ irrig: ὦ Ἰσμηνία.

[19] Æ: εἰ.

[20] λικμήσω.

[21] M giebt ἀτονήσατε st. ἠὐτονήσατε.

[22] Æ: ἢ—.

[23] Æ: βουλόμενοι.

[24] Bei vernünftiger Erwägung hätten sie ihre Ehre in einem Bündniss mit Alexander, nicht im Kampfe gegen ihn, suchen sollen.

οὐδὲ σοὶ συμφέρει τοῦτο.[1] τοῦ γὰρ τέλους ἐπιφανέντος αὐτὰς τὰς Θήβας ἐν ταύτῃ τῇ ὥρᾳ τάχιστα καταφλέξω, Ἰσμηνίαν δὲ τὸν ἄριστον τῶν αὐλητῶν τῶν ἡμιφλέκτων δωμάτων ἐφεστῶτα[2] οὕτω κελεύσω διδύμων αὐλῶν ἦχος Βοιώτιον[3] [διὰ] τὴν ἅλωσιν αὐτῶν αὐλῆσαι.[4]"

Τότε ἐκέλευσε τοὺς στρατοὺς κατασκάπτειν τὸ ἑπτάπυλον τεῖχος τὸ ρλβ'. τῆς πόλεως Θηβαίων, καὶ πάλιν [ἐν] Κιθαιρῶνι[5] χοροὺς χορεύειν[6] Θηβαίους. καὶ αὐτὸς ὁ Ἰσμηνὸς αἱμόῤῥυτος ἔῤῥευσεν[7] ἀφ' ἑαυτοῦ.[8] καὶ καταβάλλονται τὰ τείχη καὶ ἡ πόλις Θηβαίων. καὶ πάντα σφαγαῖς ἐκακώθη καὶ κατεσκάφη τὰ τείχη. Πολὺς κλαυθμὸς καὶ βαρὺς στόνος καὶ στεναγμὸς καὶ ὀδυρμὸς ἐμυκῶντο.[9] Ὁ δὲ Ἰσμηνίας διδύμων ὀργάνων ἦχος αὐλῶν συναρμοσάμενος ἐπὶ[10] δώματος εἰστήκει, ὡς ἐκέλευσεν ὁ Μακεδὼν αὐλεῖν.[11] Ἐπεὶ τὰ τείχη πάντα ἔπιπτε Καδμείων καὶ τὰ μέλαθρα Λύκου καὶ τὸ Λαβδάκου δῶμα, εἰς εὐσέβειαν τῆς πάροιθε παιδείας τὴν Πινδάρου[12] [οἰκίαν] ἐτήρησε[13] καὶ κατέλιπεν ἀβλαβῆ τὸν τύμβον[14], ἐφ' ὃν ἦλθε πεσὼν καὶ μετέσχε ταῖς Μούσαις πρὸς τὸν λυρῳδὸν θανόντα φοιτήσας.[15] Πολλοὺς ἄνδρας[16] ἐν τῇ πατρίδι κατέσφαξε, καὶ ὀλίγους κατέλιπε παντελῶς ἔτι ζῶντας, καὶ τοὔνομ' αὐτῶν τοῦ γένους ἀπήλειψεν.[17] Θήβας γὰρ εἶπε μηκέτι καλεῖν [Θήβας], ἀλλ' ἄπολιν αὐτῶν τὴν πόλιν γενηθῆναι, ὡς ἄνομον[18] εἶναι τὸν τοιοῦτον ἄνθρωπον. Συνέβη δὲ [ὅμοιόν][19] τι τῇ τῶν Θηβῶν γεννήσει[20]. κατασκευαζομένων γὰρ τῶν τειχῶν καὶ τελουμένων, πρῶτον[21] ἡ Ἀμφίονος λύρα[22] μελῳδοῦσα ἐτέλεσε τὸ τεῖχος. κατασκαπτομένων δὲ τῶν τειχῶν Ἰσμηνίας αὐλῳδῶν ἐπακολουθῶν εὑρέθη. Τὰ οὖν ὑπὸ μουσικῆς μελῳδίας κατασκευασθέντα ὑπὸ μελῳδίας μουσικῆς κατέπεσεν. Οὕτως οὖν οἱ Θηβαῖοι ἅπαντες σὺν τῇ πόλει ἀπώλοντο, καὶ ὀλίγων καταλειφθέντων ἐκήρυξεν Ἀλέξανδρος· Ὅτου ἂν ἐπιβῶσι πόλεως οἱ Θηβαῖοι, ἀπόλεις ἔσονται.[23] Ἐκεῖθεν ὥδευσεν Ἀλέξανδρος ἐπὶ τὰς ἄλλας πόλεις.

47. Οἱ δὲ καταλειφθέντες τῶν Θηβαίων πέμπουσιν εἰς Δελφοὺς[24] χρησμὸν ρλγ'. αἰτεῖν, εἰ ὅλως ποτὲ γενήσεται ἀνακτᾶσθαι τὴν πόλιν αὐτῶν. Ὁ δὲ Ἀπόλλων ἐχρησμῴδησεν[25] αὐτοῖς οὕτως· Ἑρμῆς καὶ Ἀλκείδης καὶ τει-

---

[1] sc. ἡ δέησις. [2] Æ giebt dagegen das Folgende, wie mir scheint, auf Missverständniss Beruhende: Ἰσμηνίαν .. ἡμίφλεκτον ποιήσω, ὅτι τῶν δωμάτων ἐφεστὼς καὶ βοηθὸς ἦν. Οὕτω .. [3] Stephanus B.: quoniam crassi et insulsi fuerunt οἱ Βοιώτιοι, inde Βοιώτιον μέλος dicitur de crasso itidem et insulso carmine. [4] Æ: αὐχῆσαι. [5] M: ἐκεῖ χαίρων ἐπεχόρευε Θηβαίοις Ἰσμηνός. [6] l. պարս պարել st. պատսպարելով. [7] Æ: ῥεύσας, wohl in Stellvertretung des Verb. finit. [8] also nicht vom Blute der Erschlagenen. [9] ἀνεβόων μυκώμενοι. [10] Man erwartet ՚ի st. զ. [11] Æ: αὐλεῖν [ὃς] τὰ τῶν Θηβαίων πράγματα ἤδη Διονύσου, δι' ὃ τὰ τείχη .... mir unverständlich, ich lese վասն զի st. վասն որոյ· Æ hat m. E. die ganze Stelle missverstanden. [12] l. Պինդարայ. [13] Æ: ἐπῆρεν, ὕψωσεν. [14] Æ irrig: τὸν πύργον. [15] Æ: ἐφ' ὃν ἦλθε παῖς ὢν καὶ εἶχεν ἐμπειρίαν τῆς μουσικῆς πρὸς τὸν λυρῳδὸν γέροντα φοιτήσας. — l. քնարաՀնարութեան ալեւորն = λυρῳδὸς γέρων. [16] l. արս st. զօրս. [17] M irrig: ἀπέλειψεν. [18] M: ἔννομον. [19] Ergänze նման. [20] Nach der Lesart der Codd. [21] M: πρώην. [22] Æ: λύρᾳ. [23] Ich lese յոր անցին [st. անկան] oder անցցեն ՚ի քաղաք Թեբայեցիք — եղիցին. [24] Æ: Δελφίς. [25] Æ: Partic. [anstatt des Verb. fin.].

I, 47. II, 1.

χομάχος[1] Πολυδεύκης οἱ τρεῖς ἀθλήσαντες ἀναστήσουσί[2] σε, Θήβη. Οὕτω τοῦ χρησμοῦ δοθέντος ἐξεδέχοντο τὰ ἀποβησόμενα.[3]

ρλδ'. Ὁ δὲ Ἀλέξανδρος παρεγένετο εἰς Κόρινθον καὶ κατέλαβεν[4] ἐκεῖ τὸν ἀγῶνα τῶν Ἰσθμίων γιγνόμενον, καὶ παρεκάλουν αὐτὸν οἱ Κορίνθιοι ποιεῖν[5] τὸν ἀγῶνα τῶν Ἰσθμίων. Ὁ δὲ βασιλεὺς πεισθεὶς αὐτοῖς ἐκάθισε. καὶ εἰσῆλθον οἱ ἀγωνισταί[6], καὶ οἱ νικῶντες ἐστεφανοῦντο ὑπὸ τοῦ βασιλέως, καὶ δωρεὰς ἔδωκε τοῖς καλῶς ἀθλήσασιν. Εἷς δὲ τῶν ἀθλητῶν, ἀνὴρ κερδαλέος[7], Θηβαῖος τῷ γένει, Κλειτόμαχος ὀνόματι, ἀπεγράψατο πάλην[8], παγκράτιον[8], πυγμήν, τρία γένη[9] τοῦ ἀγῶνος. ἐν δὲ τῷ σταδίῳ πολυποικίλῃ παλαισμάτων ἐμπειρίᾳ ἔτυψε τὸν ἀνταγωνιστήν, ὥστε ἔπαινον λαβόντα παρὰ τοῦ κοσμοκράτορος ἐλθεῖν τὸν στέφανον λαβεῖν τὸν τῆς πάλης. Εἶπεν ὁ βασιλεύς· "Ἐὰν καὶ τὰ ἄλλα δύο νικήσῃς, ἃ ἀπεγράψω, στεφανώσω σε τρεῖς στεφάνους καὶ δώσω σοι αἴτημα, ὃ ἂν αἰτήσῃς." Ταῦτα ἀκούσας ἀπῆλθεν εἰς τὴν μάχην καὶ τοὺς ἄλλους δύο ἀγῶνας, οὓς ἀπεγράψατο, ἠγωνίσατο γενναίως [καὶ] ἐνίκησε τὸ παγκράτιον καὶ τὴν πυγμήν. ἦλθε πρὸς Ἀλέξανδρον καὶ ἐστεφανώθη τοὺς τρεῖς στεφάνους. Τοῦ δὲ κήρυκος εἰπόντος αὐτῷ· τίς καλεῖ ἢ ἐκ ποίας πόλεως πολίτης εἶ, ἵνα σε ἀναγορεύσω; εἶπεν ὁ ἀθλητής· "Κλειτόμαχος μὲν καλοῦμαι, πόλιν δὲ οὐκ ἔχω." Ἀκούσας δὲ ὁ Ἀλέξανδρος εἶπεν· "Ὦ γενναῖε, τοιοῦτος εἶ ἔνδοξος ἀθλητής, ὥστε ἐν ἑνὶ σταδίῳ[10] νικῆσαι τρεῖς διδασκαλίας, πάλην, παγκράτιον, πυγμήν, καὶ στεφανωθῆναι ὑπ' ἐμοῦ κοτίνου κλήμασι[11], καὶ πόλιν οὐκ ἔχεις;" Ὁ δὲ Κλειτόμαχος εἶπε· "Πρὶν γενέσθαι βασιλέα τὸν Ἀλέξανδρον [εἶχον. γενομένου δὲ βασιλέως Ἀλεξάνδρου][12] ἀπώλεσά μου τὴν πατρίδα καὶ τὴν πόλιν." Καὶ νοήσας ὁ δυνατὸς βασιλεύς, πόθεν ἐστὶν ἢ τίς ἐστιν αὐτοῦ ἡ πατρὶς καὶ τί μέλλει αἰτεῖν, ἐκέλευσεν ἀνακτίζεσθαι Θήβας εἰς τιμὴν τριῶν θεῶν, Ἑρμοῦ, Ἡρακλέους καὶ Πολυδεύκους, "ἵνα ἐμοῦ γένωνται δωρεαί, καὶ μὴ[13] σοῦ ἡ αἴτησις." Καὶ οὕτω συνετελέσθη ὁ χρησμὸς τοῦ Ἀπόλλωνος· Ἑρμῆς καὶ Ἀλκείδης καὶ τειχομάχος Πολυδεύκης οὗτοι τρεῖς ἀθλήσαντες, ἵνα ἀνακτίσωσί σε, Θήβη.

Ἐτελέσθησαν ἡ γένεσις καὶ τὰ ἔργα Ἀλεξάνδρου τοῦ Μακεδόνος γεγραμμένα ὑπὸ τοῦ σοφοῦ Ἀριστοτέλους. Νῦν ἀρχόμεθα καὶ [λέγειν] τὸ ἐλθεῖν εἰς Πλαταιάς, πόλιν τῶν Ἀθηναίων.

[ΒΙΒΛΙΟΝ Β'.]

ρλε'. Ἀναβὰς ὁ Ἀλέξανδρος ἀπὸ Κορίνθου σὺν τοῖς στρατεύμασιν αὐτοῦ ὁδεύει 1.
om. gr. εἰς Πλαταιάς, πόλιν Ἀθηναίων, ὅπου τὴν Κόρην σέβονται οἱ Ἀθηναῖοι.

---

[1] M: ἱμαντομάχος. Danach wäre *խրացամարտ* vorauszusetzen. [2] M: ἀνακτήσουσι. [3] l. *տուեցելոյ — լինելոց*. [4] Æ: Partic. [5] Gemeint ist: ἀγωνοθετεῖν. [6] l. *հանդիսականք* st. *հանդէս*. [7] M: παράδοξος — welches jedoch von Æ durch *հրաշալի* und *հրաշաւոր* wiedergegeben zu werden pflegt. Vgl. ρπδ'. und σκδ'. [8] Æ hat die allgemeineren Bezeichnungen μάχη und ἀγών. [9] l. *ազգս* st. *զայս* ταῦτα. [10] M: ἔπαινος σταδίου. [11] Æ irrig: ἐλαίας [l. gen.] κλήμασιν ἀγρίοις st. ἀγριελαίου κλήμασι. [12] Fehlt bei Æ. [13] M: καὶ μία αἴτησις.

ἱμαντομάχος A

in A [illegible]: Ἀλεξάνδρῳ εἰσελθόντι προσφύξω, ἐμὲ δὲ καθαιρεθήσεσθαι εἶπες – [illegible]
[illegible] Bi.

×ἔτυχεν πορφύραν εἰς τὸν χιτῶνα τῆς θεοῦ βαλέσθαι A.

× A: καὶ τούτων μὲν προθύμως με ἀναγορευ~~σάντων~~θῶσι ~~[illegible]~~
~~[illegible]~~ βασιλέα τῇ ἀνδρείᾳ τούτων κατέστειλα τὰ τῆς Εὐρώπης
κλήματα.

καὶ εἰσβάντος αὐτοῦ εἰς τὸ τέμενος τῆς θεοῦ ὕφασμα ἱματίων ἱερατικῶν[1] ὑφαίνετο τῇ θεῷ. Τοῦτο πυθόμενος[2] κατέμαθεν Ἀλέξανδρος. καὶ εἶπεν ἡ ἱέρεια τῆς θεοῦ· "Καλῇ ὥρᾳ εἰσῆλθες πρὸς τὴν θεόν, Ἀλέξανδρε. διάσημον δεῖ σε γίγνεσθαι κατὰ τὰς πόλεις, καὶ μάλα διαλάμψεις.[3]" Οὕτως εἰπούσης τῆς ἱερείας, ἐτίμησεν αὐτὴν Ἀλέξανδρος χρυσῷ.

Μεθ' ἡμέρας δὲ Στασαγόρας ὁ τῶν Πλαταιέων στρατηγὸς[4] εἰσέρχεται ρλς'. καὶ αὐτὸς εἰς τὸ τῆς Κόρης τέμενος. Καὶ λέγει αὐτῷ ἡ προφῆτις τῆς θεοῦ· "Στασαγόρα, καθαιρεθῆναί σε δεῖ[5] ἀπὸ τῆς ἀρχῆς." Ὁ δὲ ἀπειλήσας αὐτῇ εἶπεν· "Ὦ ἀναξία τῶν προφητειῶν, ἃς προφητεύεις[6]. Ἀλεξάνδρου εἰσελθόντος ἐνθάδε εἶπες αὐτῷ· "Διάσημον δεῖ σε γίγνεσθαι καὶ λαμπρὸν καὶ ἐπιφανῆ κατὰ τὰς πόλεις." ἐμοὶ δὲ εἰσελθόντι λέγεις· "Καθαιρεθῆναί σε δεῖ ἀπὸ τῆς ἀρχῆς."" Ἡ δὲ εἶπε· "Μὴ χαλέπαινε, ὦ στρατηγέ, πάντα προσημαίνουσι διὰ σημείων οἱ θεοὶ τοῖς ἀνθρώποις, μάλιστα τοῖς περισσεύουσι τῇ δυνάμει. ὅτε εἰσῆλθεν ἐνταῦθα Ἀλέξανδρος, ×διέβη νῆμα[7] εἰς τὰς γωνίας τῶν χιτώνων διάσημος πορφύρα. εἶπον αὐτῷ· Ἀλέξανδρε, διάσημον δεῖ σε γίγνεσθαι — διὰ τὴν διάσημον πορφύραν. σὺ δὲ εἰσέβης, [ὅτε] ἐτελέσθη ὁ χιτὼν καὶ ἐξεκόπη τὸ ὕφασμα καὶ καθῃρέθη τὸ ὄργανον. οὐκοῦν φανερόν σοί ἐστιν, ὅτι καθαιρεθῆναι δεῖ σε ἀπὸ τῆς ἀρχῆς;" Ὠργίσθη ὁ στρατηγὸς καὶ μετέστησεν αὐτὴν τῆς ἱερωσύνης λέγων· "Σεαυτῇ ἐπέλυσας[8] τὸ σημεῖον καὶ οὐκ ἐμοί. ἰδέ, ὅτι σὺ μετεστάθης ἤδη." Ἤκουσε ταῦτα Ἀλέξανδρος καὶ μετέστησε τῆς στρατηγίας τὸν Στασαγόραν, τὴν δὲ ἱέρειαν παραυτὰ παραλαβεῖν τὴν προφητείαν ἐκέλευσε. Καὶ εἶπεν ἡ ἱέρεια· "Στασαγόρα, ἐγὼ ἐπέλυσά σοι τὸ σημεῖον, καὶ ἡ ἐπίλυσις ἀληθὴς ἐγένετο." Ὁ δὲ Στασαγόρας λαθὼν τὸν Ἀλέξανδρον εἰς Ἀθήνας ἦλθεν[9] — ἦν γὰρ ὑπ' αὐτῶν κατασταθεὶς εἰς τὴν στρατηγίαν — καὶ διηγεῖται αὐτοῖς ⌈τὰ διὰ Ἀλεξάνδρου συμβεβηκότα αὐτῷ. Ἐστασίασαν οἱ Ἀθηναῖοι ἐπὶ τοῖς γενομένοις καὶ ἐνύβριζον πάντες τὸν Μακεδόνα. ὁ δὲ Ἀλέξανδρος μαθὼν ταῦτα ἔγραψεν αὐτοῖς ἐπιστολὴν περιέχουσαν οὕτως·

om. A.

[illegible] Bi.

[illegible] in A, [illegible] Bi

⌈μετὰ δακρύων A

"Βασιλεὺς Ἀλέξανδρος Ἀθηναίοις ταῦτα λέγει· Ἐγὼ μετὰ τὴν τοῦ ρλζ'. πατρός μου τελευτὴν τῇ τύχῃ ἔλαβον τὴν βασιλείαν. καὶ καταστείλας τὰς πρὸς τῇ δύσει χώρας ἐπιστολαῖς, ἔπεισα πάσας τὴν ἀρχήν, καὶ τούτους[10] ἀποδεξάμενος παρήνουν μένειν ἐν τοῖς ἰδίοις τόποις[11]. τῶν δὲ πατρίων φίλων μου Μακεδόνων, οἳ προθύμως λαβόντες διὰ κήρυκος διεφήμισαν ταχέως τὴν βασιλείαν μου, [συμβουλευσάντων] καὶ τούτων πλήθει καὶ ἀνδρείᾳ καὶ θελήσει ἀσφαλὴς ἀποδειχθεὶς κατέστειλα τὰ τῆς Εὐρώπης πράγματα[12], καὶ τοὺς Θηβαίους κακοὺς κακῶς ἀπώλεσα, καὶ κατασκάψας ἐκ βάθρων ἐξεῤῥίζωσα τὴν πόλιν διὰ τὴν ματαίαν ὑπερηφανείαν. Νῦν δὲ διαβὰς εἰς τὴν Ἀσίαν λέγω τοῖς Ἀθηναίοις δέχεσθαι. ἐγὼ πρῶτος γράφω ὑμῖν, καὶ οὐ πολλοὺς λόγους, καθὼς ὑμεῖς, ἀλλὰ συντόμως λέγω τὰ κεφάλαια. τοῖς κρατοῦσι προσήκει ἐπιτάσσειν, τοῖς δὲ κρατουμένοις ποιεῖν

×

ἀξιοῦντί με

---

[1] w: ἱμ. τῆς ἱερᾶς λατρείας. [2] A: θεασάμενος. [3] Durch zwei Adj. mit εἶναι wiedergegeben. [4] l. զորապետ oder -գլուխ, wie weiter unten. [5] w: γεγραμμένον ἐστί — und so nachher noch einige Male. [6] A: ἁ. τῆς προφητείας. [7] 'als Faden'. [8] M: σὺ αὐτὴ ἀπελεύσῃ. Τὸ σημεῖον ἀκούσας... [9] Æ irrig: οὐκ εἰδότος Στασαγόρου Ἀλέξανδρον ὅτι εἰς Ἀθήνας ἦλθε. [10] sc. die Bewohner der genannten Länder. [11] M: παρ. εἶναι ἐπ' αὐτοῖς τοῖς Μακεδόσι. [12] M: κλήματα.

cf. Bi.

τὰ ἐπιτεταγμένα[1]. καὶ νῦν ἔμπας ἢ κρείττονες [ἡμῶν] γίνεσθε ἢ τοῖς κρείττοσι φόρους δότε[2] τάλαντα χίλια."

2.

αὐτῷ Α.

ρλη'. Ταῦτα ἀντιγράφουσι τῇ βασιλικῇ γραφῇ οἱ Ἀθηναῖοι· "Ἀθηναίων ἡ πόλις καὶ οἱ ἄριστοι δέκα ῥήτορες Ἀλεξάνδρῳ ταῦτα [λέγομεν]· Τοῦ πατρός σου ζῶντος ἡμεῖς μεγάλως ἐλυπούμεθα, καὶ ἀποθανόντος μεγάλως ἐχάρημεν. Φιλίππου τρὶς μεμισημένου ὑπὸ τῶν Ἑλλήνων[3] ταῦτά[4] καὶ ἐπὶ σοῦ ὑπολαμβάνειν δεῖ. Παῖ Φιλίππου, τολμηρότατε, ἐνιαυσίους[5] φόρους τοὺς Ἀθηναίους ἀπαιτεῖς τάλαντα χίλια, τουτέστι πολεμεῖν πρὸς ἡμᾶς βουλόμενος. Ἀνδρεῖον φρόνημα ἔχων ἐλθὲ τάχιον καὶ παραγενοῦ πρὸς ἡμᾶς."

= Βί, Α [illegible]

ρλθ'. Πάλιν ἔγραψεν ὁ βασιλεὺς ἀπόκρισιν τήνδε· "Βασιλεὺς Ἀλέξανδρος Ἀθηναίοις ταῦτα λέγω· Πέπομφα Πρωτέαν[6] τὸν ἡμέτερον, ὃς ταχέως τὰς γλώσσας ὑμῶν ἀποτεμὼν ἀποκομίσῃ πρὸς ἐμὲ καὶ τοὺς ἄφρονας τῶν ῥητόρων ὑμῶν ἀγάγῃ, ἵνα μὴ δύνωνται ἐξαπατᾶν. καὶ πειράσομαι ὑμᾶς καὶ Ἀθηνᾶν τὴν σύμμαχον ὑμῶν περιφλεγῆ ποιῆσαι, ὅτι τὰ ἐπιτασσόμενα ὑμῖν οὐ ποιεῖτε. Παράδοτε οὖν τοὺς πρωτεύοντας ὑμῶν ῥήτορας, ἵνα βουλευσάμενος περὶ τῶν ὑμῖν συμφερόντων ἐλεήσω τὴν πατρίδα ὑμῶν."

= Βί

οὓς ἀπεεὶ γέρους -- Α

[δόκη ολλ. Α

Πρωτέα Βί, Proteo Lgr.

ρμ'. Οἱ δὲ παραλαβόντες τὴν ἐπιστολὴν ἐνέγραψαν[7]· "Οὐ ποιοῦμεν" καὶ ἔπεμψαν. Καὶ μεθ᾽ ἡμέρας συναθροισθέντες ἐβουλεύσαντο, τί πράξουσι, πότερον πέμψουσιν ἢ πολεμήσουσιν. Αὐτῶν δὲ βουλευομένων ἀνιστάμενος Αἰσχίνης ὁ ῥήτωρ εἶπεν· "Ἀθηναῖοι, τί βραδύτερον τῆς βουλῆς[8] βούλεσθε πέμπειν ἡμᾶς πρὸς Ἀλέξανδρον; Θαρροῦντες πορευθησόμεθα. ὁ γὰρ Ἀλέξανδρος οὐκ ἔστι Φίλιππος[9]. ὁ γὰρ Φίλιππος ἀνετράφη[10] τῇ τῶν πολεμίων αὐθαδείᾳ, ὁ δὲ Ἀλέξανδρος ταῖς τοῦ Ἀριστοτέλους παιδείαις ἐδιδάχθη καὶ προέτεινε[11] πρὸς ἡμᾶς[12] τὰς χεῖρας παιδευόμενος, ὥστε ἔσται μεγαλοφρονῶν καὶ ἐντραπήσεται ἰδὼν τοὺς διδασκάλους, καὶ κτίσει[13] ὁρῶν τοὺς καθηγουμένους αὐτὸν ὡς χρὴ τὴν βασιλείαν τὴν παρὰ τοῦ πατρὸς παραληφθεῖσαν καὶ βασιλικῶς[14], καὶ μεταβαλεῖ τὴν γνώμην, ἣν ἔχει πρὸς ἡμᾶς, εἰς φιλίαν.[15]"

= Α, Βί μετὰ γ' ἡ.

Α [illegible] συνηγ.

4. δημ. τ. Βί.

× Ἀ. γὰρ ἔστι Φιλίππου Α.–

Α αὐτ: περὶ τῆς βασιλείας – Βί: ~~τὴν~~ ἐκπαιδεύσαντες πῶς δεῖ τὴν βασιλείαν
μεθ᾽ ἱλαρότητος πολλῆς ἐξάγειν καὶ δικαίως.

ρμα'. Ταῦτα εἰπόντος Αἰσχίνου ἀνέστη Δημάδης, γενναῖος ῥήτωρ, καὶ ἀπέκοψε τὸν Αἰσχίνην λαλῶν καὶ λέγων· "Μέχρι πότε, Αἰσχίνη, μεμαλθακευμένους καὶ δειλιῶντας λόγους εἰσφέρεις, ἵνα μὴ κατεσκευασμένοι ἀντιταξώμεθα αὐτῷ πολέμῳ; τίς εἰς σὲ εἰσελήλυθε δαίμων δειλίας[16] τοιαῦτα φθέγξασθαι τοῖς Ἀθηναίοις; ὁ τηλικαύτας[17] συνηγορίας ποιησάμενος, ὁ προτρεψάμενος

= Βί

---

[1] So setze ich versuchsweise. Æ: οὐ προσήκει τοῖς κρατουμένοις, ἀλλὰ τοῖς κρατοῦσι ταῦτα προσήκει ποιεῖν καὶ ἐπιτάσσειν, τουτέστιν Ἀλεξάνδρῳ ὑπακούεσθαι. Die Worte τουτέστιν Ἀλεξάνδρῳ sind m. E. eine Randglosse zu τοῖς κρατοῦσι und aus dem Text zu eliminieren. [2] l. Հարկս տու.ք st. Հարկատու.ք [ὑποφόροι]. [3] M: Φιλίππου τρισκάκου μεμνημένοι. [4] Æ: ταῦτα. [5] Æ: ἑκούσιος. [6] M: πεπ. πρότερον . . . Λεόντην. [7] M: ἀντέγραφον. [8] M: τί τὸ βράδος τῆς βουλῆς; εἰ . . . [9] D. h. es handelt sich nicht um eine Auslieferung an Philipp, sondern um eine solche an Alexander. A und Æ unverständlich: Φιλίππου, der erstere ohne Negation. [10] w: ἐγεννήθη — was dem Zusammenhang zuwider. [11] Æ: προτείνας [pro verbo fin.]. [12] Von Æ irrig zu ἐδιδάχθη gesetzt. [13] M: ἐρυθριεύσει. [14] Æ wohl aus Verlesung: βασιλεύσας. [15] M: εὐμένειαν. [16] M: τί παρεισελήλυθας δαιμόνιος . . [17] l. այս.քան st. .քան.

λόγον cod.
Leontam W

in A eingefügt: ἃ συμφέρει λογίσασθε — In Bi ähnl. wie in Arm.
συλλογισόμεθα λοιπόν, εἰ κρεῖσσόν ἐστι τοῦτο
τοῦ πορευθῆναι πρὸς αὐτὸν καὶ μετὰ πανοπλίας.

⌊ δειλῶς φερομένων πρὸς τοὺς λύκους οὗτοι ἔσωσαν A.

τοὺς Ἀθηναίους πολεμεῖν πρὸς τὸν τῶν Περσῶν βασιλέα, νῦν πείθεις[1]
τοὺς Ἀθηναίους ἡσυχάζειν καὶ μὴ πολεμεῖν πρὸς τὸν Μακεδόνα παῖδα,
πρὸς τύραννον αὐθάδη τὴν τοῦ πατρὸς ἀναλαβόντα τόλμην; Τί δὲ δει-
λιῶμεν πολεμεῖν πρὸς Ἀλέξανδρον[2]; Οἱ Πέρσας διώξαντες καὶ Λακεδαι-
μονίους ἡττήσαντες καὶ Κορινθίους νικήσαντες, ἔτι δὲ καὶ Μεγαρεῖς φυ-
γαδεύσαντες καὶ Ζακυνθίους διαρπάσαντες νῦν δεδοίκαμεν πολεμεῖν πρὸς
Ἀλέξανδρον; Λέγει Αἰσχίνης[3]· "Αἰδεσθήσεται[4] ἡμᾶς τοὺς καθηγητὰς
Ἀλέξανδρος καὶ ἐρυθριάσει τῇ ὄψει ἡμῶν." Κατὰ πρόσωπον ἅπαντας
ἡμᾶς ὕβρισε καὶ μετέστησε τὸν τῶν Πλαταιέων στρατηγόν, ὃν ἡμεῖς ἐκεῖ
κατεστήσαμεν, καὶ Ἱππόθοον,[5] τὸν τῆς ἐκκλησίας[6] ἡμῶν ἐχθρόν, ἐκεῖ
κατέστησε στρατηγόν. καὶ λέγεις, ὅτι θεασάμενος τὰς ὄψεις ἡμῶν αἰδε-
σθήσεται ἢ ἐρυθριάσει. ἀλλ' οὐ γυμνοὺς καταλαβὼν ἡμᾶς κολάσεται;
Ἀλλὰ πολεμήσωμεν ἀγνώμονι[7] καὶ ἀπίστῳ Ἀλεξάνδρῳ. μὴ πιστεύσωμεν
τῇ ἡλικίᾳ ἐκείνῃ, ἣν ἔχει ἐκεῖνος. ἄπιστος γὰρ ἡ διάνοια τῶν νέων.[8] A ursprgl.: εἰ-περίκειται
δύναται γενναίως πολεμεῖν μὴ δίκαια φρονοῦσα.[9] Τὴν Τύρον αἰχμαλω- ἡ ἡλικία
τεύσας ἐξηρήμωσεν[10], ὅτι ἀδύνατοι ἦσαν πρὸς αὐτὸν μάχεσθαι. τοὺς
Θηβαίους κατέσκαψεν ἐκ θεμελίου, οἳ οὐκ ἦσαν αὐτῷ ἀδύνατοι, ἀλλὰ ἀπὸ om. A
πολλῶν πολέμων καμόντες. Πελοποννησίους ἐξηχμαλώτισεν, οὐκ αὐτὸς
πορευόμενος καὶ πολεμῶν, ἀλλὰ λιμῷ καὶ λοιμῷ διεφθαρμένους. Εἶτα
δὲ ὅτε Ξέρξης ἐξετείχισε[11] τὴν θάλασσαν ναυσὶν ἐμπλήσας καὶ κατέσπειρε
τὴν γῆν πολλοῖς στρατεύμασιν, ἐσκέπασε δὲ τοῖς ὅπλοις τὸν ἀέρα καὶ
ἐπλήρωσε τὴν Περσίδα τῶν αἰχμαλώτων — τὸν τοσαῦτα τολμήσαντα καὶ om. A
πράξαντα, τὸν γενναῖον Ξέρξην, ἀπεδιώξαμεν ἀπὸ τοῦ Πειραιέως καὶ τὰς om. A, ähnlich [illegible] Bi.
ναῦς ἐπρήσαμεν καὶ ἐκ τῆς γῆς τὰ στρατεύματα ἀπεδιώξαμεν [ἐπὶ] Κυ-
ναιγείρου καὶ Ἀντιφῶντος καὶ Κλεοχάρους[12] καὶ τῶν ἄλλων ἀρίστων, οἳ om. A
σὺν αὐτοῖς ἦσαν, τότε τούτων νικηταὶ εὑρεθέντες, — νῦν δεδοίκαμεν ἀπὸ
Ἀλεξάνδρου συνάπτειν εἰς μάχην πρὸς παῖδα καὶ τοὺς παρ' αὐτῷ σατρά-
πας καὶ ὑπερασπιστὰς κακογνώμονας, οἳ οὐκ ἐπίστανται αὐτοῦ τὴν τόλμην in A eingef.: καὶ αὐτοῦ
σωφρονίζειν; Εἶτα δὲ πέμπετε ἡμᾶς τοὺς δέκα ῥήτορας πρὸς αὐτόν; ἀσωφρονεστέρους
| λογίσασθε, εἰ συμφέρει ὑμῖν ἄνευ πανοπλίας πορεύεσθαι, ἐνθυμήθητε,
| ἴδετε. Ἀλλὰ καὶ προμηνύω ὑμῖν, Ἀθηναῖοι, ὅτι πολλάκις δέκα κύνες om. A, ebenso Arm., W, Bi.
ὑλακτοῦντες πολλὰς ἀγέλας ποιμνίων ⌊ δειλῶς εἰς ἕνα τόπον κατὰ φόβον ὅλας τὰς A
ἠθροισμένων ἀπὸ τῶν λύκων ἔσωσαν." ⌐

3. Οὕτως ἐκκλησιάσαντος τοῦ Δημάδους παρεκάλουν οἱ Ἀθηναῖοι τὸν ρμβ'.
Δημοσθένην γενναίως καὶ συμφερόντως συμβουλεύειν περὶ τῆς κοινῆς om. A
σωτηρίας. Ὁ δὲ Δημοσθένης ἀναστὰς καὶ τῷ τῆς χειρὸς νεύματι τὸν f. in A, vorhanden in Arm.,
πολὺν ὄχλον τῆς ἐκκλησίας καταπαύσας εἶπεν οὕτως· "Ἄνδρες πολῖται. Bi.
οὐ λέγω Ἀθηναίους. εἰ γὰρ[13] [ἦν] ὑμῶν ξένος καὶ μὴ πολίτης, χρῆν ἂν
λέγειν με· ἄνδρες Ἀθηναῖοι. νῦν δὲ λέγω· ἄνδρες πολῖται. κοινὴ πάντων f. in A ἐ. [illegible]
ἐστὶν ἡμῶν σωτηρία περὶ τούτου ἀκριβῶς βουλεύεσθαι, ἢ πολεμεῖν τῷ

---

[1] l. Հաւանեցուցանես. [2] M: αὐτῷ συμμαχεῖν. [3] Von Æ zum Vorhergehenden gezogen. [4] M: αἰσθήσεται ἡμῶν. [5] M: Κιθόωντα. [6] Versammlung. [7] Æ: ἀγνώστῳ, ἀνελευθέρῳ. [8] M: ἀ. ἡ ἡλικία. [9] sc. ἡ ἡλικία. Oder φρονῶν, so dass Alex. als Subject gedacht wäre. [10] M: ἐξεπόρθησε. [11] M: ἐξήρτησε. [12] Die Codd. boten Μνησιχόρους und Νησιχόρους. Die Herausgg. haben Kleochares gesetzt, weil bei der Wiederholung im folg. Cp. der Name diese Form hat. [13] l. քանզի st. քան.

f. in A, [illegible] in Bi Ἀλεξάνδρῳ ἢ ὑπείκειν τοῖς ὑπ᾽ αὐτοῦ εἰρημένοις. Αἰσχίνης γὰρ ἐχρήσατο κεκραμένῳ λόγῳ πρὸς ὑμᾶς, μήτε προτρεπόμενος πολεμεῖν μήτε ἀπέχεσθαι[1] τοῦ μάχεσθαι, ἄνθρωπος γέρων καὶ ἐν πολλαῖς ἐκκλησίαις συνηγορήσας. Δημάδης δὲ νέος τυγχάνει καὶ κατὰ τὸ τῆς ἡλικίας φρόνημα οὕτω συμβουλεύει. Ἀλλ᾽ ἀπεδίωξαν Ξέρξην οἱ Ἀθηναῖοι, λέγει Δημάδης. ὅτι[2] Κυναίγειρος παρῆν, καὶ Ἀντιφῶν ἐμαχέσατο, καὶ Κλεοχάρης ἐπολέμησε, καὶ Βοηδρόμιος[3] ταῖς ναυσὶν ἐμαχέσατο, καὶ πάλιν ὑπερασπιστὴς ἦν Ἐρεχθεύς, Ἀντίμαχος[4] ἠρίστευσε καὶ ἐνίκησε. Καὶ νῦν, Δημάδη, ἄγε τοὺς ἄνδρας τούτους, καὶ πολεμοῦμεν πρὸς Ἀλέξανδρον. πιστεύσομεν ἑαυτοὺς τῷ σθένει τῶν ὀνομασθέντων.[5] εἰ δὲ μὴ εἰσὶ νῦν ἐκεῖνοι, οὐδὲ ἡμεῖς πολεμοῦμεν. Ἕκαστος[6] γὰρ καιρὸς τὴν ἰδίαν δύναμιν καὶ ἐπιταγὴν ἔχει. Μεγάλα δυνάμεθα λέγειν δημηγοροῦντες οἱ ῥήτορες, ἀλλ᾽ ἀδύνατοί om. A ἐσμεν ὅπλον περὶ ἑαυτοὺς λαβεῖν καὶ εἰς μάχην διανίστασθαι. Καίτοι Ξέρξης μέγας ἦν καὶ ἰσχύων στρατεύμασιν, ἀλλ᾽ ἐνικήθη τότε. καὶ ἦν ἡμῖν κατὰ τὴν θέλησιν τὰ πράγματα, ὅτι ἥττων [τῇ φρονήσει][7] εὑρέθη ὁ Ξέρξης. Ἀλέξανδρος δὲ εἰς τρισκαίδεκα πολέμους εἰσελθὼν οὐδαμοῦ ἡττήθη, ἀλλὰ καὶ αἱ πλείονες πόλεις προσεδέξαντο αὐτὸν ταύτην ὁδὸν εὑροῦσαι τῆς ἑαυτῶν σωτηρίας. Ἀδύνατοι ἦσαν οἱ Τύριοι πρὸς πόλεμον A: χωρὶς μάχης Ἀλεξάνδρου. ἀλλὰ[8] ἐνίκησαν οἱ Τύριοι πρὸς Ξέρξην ναυμαχήσαντες καὶ τούτου τὰς ναῦς ἐμπρήσαντες. Ἀδύνατοι ἦσαν οἱ Θηβαῖοι, οἳ ἀφ᾽ οὗ ἐκτίσθησαν πολεμοῦσι καὶ οὐπώποτε ἡττήθησαν, Ἀλεξάνδρῳ δὲ μόνῳ ὑπήκουσαν. Πελοποννησίους, λέγει Δημάδης, οὐχ οὗτος ἐνίκησεν, ἀλλ᾽ ὁ λιμός. καὶ ἔπεμψεν αὐτοῖς ἀπὸ Μακεδονίας σῖτον Ἀλέξανδρος. Ἀντιγόνου δὲ τοῦ στρατηγοῦ εἰπόντος· "Ἀλέξανδρε, οἷς μέλλεις πολεμεῖν, σῖτον πέμπεις;" "καὶ μάλα", εἶπεν, "ἵνα ἐγὼ αὐτοὺς μαχεσάμενος νικήσω, καὶ καὶ νῦν A μὴ λιμῷ ἀναιρεθῶσιν." Ἀλλὰ μὴ ἀγανακτεῖτε, ὅτι τὸν Στασαγόραν μετέστησε τῆς στρατηγίας αὐτοῦ. Πρῶτος Στασαγόρας ἐστασίασε[9]. Τῇ γὰρ ἱερείᾳ εἶπεν[10]· "Ὅτι Ἀλεξάνδρῳ εἶπες· διάσημον εἶναί σε δεῖ κατὰ τὰς f. in A, [illegible] Bi πόλεις, ἐμοὶ δὲ λέγεις· καθαιρεθῆναί σε δεῖ ἀπὸ τῆς ἀρχῆς. νῦν[11] ἐγὼ σὲ καθαιρήσω ἀπὸ τῆς προφητείας." οὐκ οὖν ἀκούσας ταῦτα δικαίως ὁ βασιλεὺς ἠγανάκτησεν[9] ἐπὶ τοῖς ἔργοις τοῦ Στασαγόρου; Ἆρ᾽ ἴσος[12] ἐστὶ στρατηγὸς βασιλεῖ; Μέμφεσθε οὖν τὸν Μακεδόνα, ὅτι Στασαγόραν μετέστησε τῆς στρατηγίας Ἀθηναῖον ὄντα; καὶ οὐ μέμφεσθε Στασαγόραν ἐκβάλλοντα τὴν ἱέρειαν Ἀθηναίαν; Ἀλλὰ μὴν ἡμᾶς ἐκδικῶν Ἀλέξανδρος τοῦτο ἔπραξε. τοῦτον γὰρ μετέστησε τῆς στρατηγίας, τῇ δὲ ἡμετέρᾳ πολιτείᾳ[13] ἀπέδωκε τὴν προφητείαν."

ρμγ. Οὕτως εἰπόντος Δημοσθένους πολὺς ἔπαινος ἐγένετο τῶν Ἀμφικτυόνων[14] καὶ θροῦς[15] ἄδηλος. Καὶ ὁ μὲν Δημάδης ἐσιώπα, Αἰσχίνης δ᾽ ἐπῄνει, καὶ Λυσίας ἐμαρτύρει, Πλάτων συνετίθετο[16] καὶ Τιμοκράτης συνεβούλευσε, Διόγνητος[17] 4 ἔπεισε, καὶ ἄλλοι Ἀμφικτύονες ἐψηφίσαντο, καὶ ὅλος ὁ δῆμος[1] συνευδόκει[2] τοῖς Δημοσθένει εἰρημένοις.

---

[1] w: ἀφιέναι. [2] 'dass'. [3] geschr. Βοήδριμος. [4] Die Namen der drei letzten Vorkämpfer für Athen finden sich sonst nirgends. [5] l. անուանելոց st. ոյ. [6] Die Präpos. ՚ի ist zu tilgen. [7] So wäre nach V zu ergänzen. [8] Æ: διὰ τοῦτο — unpassend. [9] Æ: Partic. [pro verbo fin.] [10] Æ irrig: τῆς ἱερείας εἰπούσης. [11] եթէ ist m. E. zu tilgen. [12] M: ἔννης [ἐπίσης?] [13] M: προφήτιδι. [14] So auch V. M: παρ᾽ Ἀθηναίοις. [15] Von Æ umschrieben. [16] 'stimmte bei'. [17] Æ: Διόγγινος. Die beiden letzten Namen sonst nirgends.

in A nur d. Name Κυναίγειρος, dagegen finden sich in Bi die Namen außer Kyn. Κλέαρχος, Ἐρεχθαῖος, Ἀντιφῶν, Ἀντίμαχος – d. Name Βοήδρομος im Arm. findet sich [illegible] nirgends.

A: ὁ δὲ γνοὺς αὐτὸν ἀφρονήσαντα μετέστησε τῆς στρατηγίας. οὐκ ἦν γὰρ (ἄρα?) δίκαιον ἀγανακτεῖν τῷ βασιλεῖ. ἀλλ᾽ ἐναντίος, φησί, Στασαγόρας τῷ βασιλεῖ ἐγίνετο· καὶ γὰρ ἔννης (?) ὁ βασιλεὺς καὶ στρατηγός.

Die Namen fehlen in A u. W, in Syr.: Dadmakinos u. Hertita; in Bi: Δημόκριτος und Διογένης.

Καὶ πάλιν εἶπεν ὁ Δημοσθένης· "Ἀποκρινώμεθα[3]. Ξέρξης, λέγει Δημάδης, ἐπολέμησεν, ἐτείχισε τὴν θάλασσαν ταῖς ναυσὶ καὶ τὴν γῆν κατέσπειρε στρατεύμασιν, ἐσκέπασε τοῖς ὅπλοις τὸν ἀέρα, ἐπλήρωσε τὴν Περσίδα αἰχμαλώτων Ἑλλήνων. [Καὶ νῦν δικαίως ἐπαινεῖται ὁ βάρβαρος ὑπὸ Ἀθηναίων, ὅτι τοὺς Ἕλληνας ᾐχμαλώτισεν; ὁ δὲ Ἀλέξανδρος Ἕλλην ὢν][4] καὶ Ἕλληνας συλλαβόμενος[5] τοὺς ἀντιταξαμένους αὐτῷ οὐκ ᾐχμαλώτευσεν, ἀλλὰ ἐστράτευσε[6] καὶ τοὺς αὐτῷ πολεμίους γενομένους συμμάχους ἐποιήσατο. οὕτω γὰρ εἶπεν[7] Ἀλέξανδρος δημοσίᾳ· "Τὴν βασιλείαν βασιλεύσομαι τοὺς μὲν φίλους εὐεργετῶν, [τοὺς δὲ ἐχθροὺς φίλους ποιῶν]". Καὶ οἱ Ἀθηναῖοι φίλοι τυγχάνοντες καὶ καθηγηταὶ Ἀλεξάνδρου, οὐκ εἶναι βούλονται[8], [ἀλλὰ] ἵνα ὡς ἐχθροὶ λαληθήσονται;[9] Αἰσχρόν ἐστιν ὑμᾶς τοὺς καθηγητὰς καὶ διδασκάλους Ἀλεξάνδρου ἀμαθεῖς φανῆναι. Οὐδεὶς τῶν βασιλέων Ἑλλήνων εἰσῆλθεν εἰς τὴν Αἴγυπτον εἰ μὴ Ἀλέξανδρος. καὶ ταῦτα οὐ πολεμῶν, ἀλλὰ χρησμὸν παρὰ τῶν θεῶν αἰτησόμενος, ποῦ τῆς ἑαυτοῦ ὀνομασίας ἀείμνηστον πόλιν κτίσῃ. Καὶ ἤδη ἐθεμελίωσε καὶ ἀνεγείρας ἔκτισε. παντὸς γὰρ[10] ἔργου τῆς ἀρχῆς σπουδαίως γενομένης πρόδηλόν ἐστι καὶ τὸ τέλος ταχέως εἰς ὄψιν ἥκειν. Ἐπέβη τῇ Αἰγύπτῳ βασιλευομένῃ ὑπὸ τῶν Περσῶν. Καὶ ἠξίουν οἱ Αἰγύπτιοι συστρατεύεσθαι αὐτῷ πρὸς τοὺς Πέρσας. Ἀπεκρίνατο αὐτοῖς ὁ φρενήρης[11] καὶ εἶπεν· "Ἄμεινόν ἐστιν ὑμᾶς Αἰγυπτίους τὴν τοῦ Νείλου αὔξησιν[12] καὶ τὴν γεωργίαν ἐργάζεσθαι[13] ἢ τὴν τοῦ Ἄρεως τόλμην καθοπλίζεσθαι." Καὶ ὑπέταξεν[14] αὐτῶν τὴν Αἴγυπτον. Ἀλέξανδρος οὐ τῆς ὅλης οἰκουμένης κρατήσει καὶ ὑπεράνω γενήσεται [ἐὰν μὴ ὑπάρχῃ τὰ ἐπιτήδεια][15]. Οὐδὲν γάρ ἐστι βασιλεύς, εἰ μὴ ἐπιτηδείως[16] γῆν ἔχει. Πρῶτος Ἑλλήνων Ἀλέξανδρος ἔλαβεν Αἴγυπτον, ὥστε πρῶτον αὐτὸν Ἑλλήνων καὶ βαρβάρων εἶναι.[17] Πόσας μυριάδας στρατοπέδων τρέφει[18] ἐκείνη ἡ χώρα; οὐ μόνον[19] τοὺς ἐν αὐτῇ καθεζομένους, ἀλλὰ [καὶ] τοὺς ἐν πολέμῳ μαχομένους. Πόσας πόλεις κενὰς [καὶ] ἀνάνδρους[20] ἀναπληρώσει καὶ κατοικίσει; ὥσπερ γὰρ πολύπυρός ἐστιν, οὕτω καὶ πολύανδρός ἐστι. καὶ ὃ ἂν αἰτῇ ἀπ' αὐτῆς ὁ βασιλεύς, ἀφθόνως παρέχει.[21] Εἰ στράτευμα βούλεται, δίδωσι.[22] εἰ σῖτον ἀπαιτεῖ, ἔχει διδόναι πρὸς πλησμονήν. χρυσὸν βούλεται εἰς φόρους[23] — παραλαμβάνει. Καὶ ὑμεῖς, Ἀθηναῖοι, βούλεσθε πολεμεῖν Ἀλεξάνδρῳ τοσαύτην ἔχοντι χορηγίαν τροφῶν τοῖς στρατοπέδοις. Ἀλλ' εἰ καὶ[24] ἡμῖν

ρμδ΄.

A [illegible]: καὶ νήσους

= IV, Bö, [illegible] A

---

[1] M: οἱ Ἡρακλέες οὐκ ἀντέλεγον. [2] Vgl. Luk. 11, 48. [3] Schwerlich ursprünglich. M: Ἔτι τοῦτο ἀπολογήσομαι. [4] Aus M ergänzt. [5] Von Æ unrichtig gedeutet: ὑποχειρίους ποιησάμενος. [6] Factitiv gemeint. [7] Æ m. E. unrichtig: ἐκέλευσε καὶ εἶχε τὴν βασιλείαν. [8] sc. φίλοι. [9] Die Textesworte bedürfen der Umstellung. [10] l. քանզի ամենայն գործոյ սկսբան und ändere die Interpunction. որոյ ist zu tilgen. [11] M: φρ. παῖς. [12] M: πλημμυρίαν. [13] Ob Հարկանել richtig? [14] M: λόγῳ ὑπέταξεν — eher wohl κατὰ λόγον. [15] Offenb. bedarf es einer Ergänzung. [16] M: πρὸς φόρον — schwerlich richtig. Etwa εὔφορον? Æ wollte viell. πρόσφορον [zweckdienlich] wiedergeben. [17] Dieser Satz stört den Zusammenhang. [18] A besser: θρέψει. [19] St. այնպէս զի ist nach A V zu lesen: ոչ միայն որք. [20] 'männerarm'. [21] w: εἰς χεῖρα προσάγει. [22] V. [23] Besser V: auro indiget? sunt vectigalia ditia. [24] Æ: ἀλλ' ἐδόκει . . ἦν.

δοκοίη καὶ εὐκταῖον εἴη πολεμεῖν Ἀλεξάνδρῳ — ἀλλ᾽ ὁ καιρὸς οὐκ ἐπιτρέπει.”

ρμε΄. Οὕτως ἐν τῇ ἐκκλησίᾳ[1] εἰπόντος Δημοσθένους πάντες ἐξ ὁμονοίας ἐπείσθησαν πέμπειν Ἀλεξάνδρῳ νικητικὸν στέφανον χρυσοῦν λιτρῶν πεντήκοντα μετὰ ψηφίσματος[2] αὐτῶν καὶ εὐχαριστίας καὶ ἑτέρων[3] πρέσβεων ἐνδόξων Ἀθηναίων. οὐ γὰρ ἔπεμψαν αὐτῷ τοὺς ῥήτορας. Οἱ δὲ πρέσβεις ἀπαντῶσιν αὐτῷ εἰς Πλαταιὰς καὶ ἀναδιδοῦσι τὸ ψήφισμα τῷ βασιλεῖ.[4] 5.

ρμϛ΄. Ὁ δὲ ἀναγνοὺς καὶ μαθὼν τὴν Αἰσχίνου συνηγορίαν καὶ τὴν Δημάδου κατηγορίαν καὶ τὴν τῆς ἐκκλησίας εὐπείθειαν καὶ τὴν τῶν Ἀμφικτυόνων συμβουλίαν ἔγραψεν αὐτοῖς ἐπιστολὴν οὕτως· “Ἀλέξανδρος[5] υἱὸς Φιλίππου καὶ μητρὸς Ὀλυμπιάδος Ἀθηνῶν σοφοῖς ῥήτορσι καὶ διδασκάλοις γράφω ταῦτα. οὔπω γὰρ ἐρῶ “βασιλεύς”,[6] ἕως πάντας τοὺς βαρβάρους τοῖς Ἕλλησιν ὑποτάξω. Ἐγὼ μὲν[7] ἔπεμψα πρὸς ὑμᾶς ἔρχεσθαι πρὸς ἐμὲ δέκα ῥήτορας, οὐχ ἵνα κακόν τι ποιήσω αὐτούς, ἀλλ᾽ ἵνα ὡς καθηγητὰς καὶ διδασκάλους ἀσπάσωμαι.[8] Οὐ γὰρ ἐπέτρεψα ἐμαυτῷ ἔρχεσθαι πρὸς ὑμᾶς μετὰ στρατευμάτων, ἵνα μὴ ἐμὲ ὑμῖν πολέμιον[9] ὑπολάβητε, ἀλλὰ μετὰ τῶν ῥητόρων ἀντὶ τῶν ἐμῶν στρατευμάτων, ἵνα παντὸς δέους ὑμᾶς ἀπαλλάξω. Ὑμεῖς δὲ ἄλλως ἠνέγκατε ἐν ὑμῖν τὰ πρὸς ἐμέ, ἐλεγχόμενοι ὑπὸ τῆς ἰδίας ἀβουλίας[10], ὅσα ἐν τῷ [πρότερον] χρόνῳ ἐν νῷ ἔθεσθε[11] ποιεῖν πρὸς τοὺς Μακεδόνας. Πολεμοῦντος γὰρ τοῦ πατρός μου πρὸς τοὺς Ζακυνθίους, ὑμεῖς σύμμαχοι ἦτε τοῖς Ζακυνθίοις. ὑμῶν δὲ πολεμουμένων ὑπὸ τῶν Κορινθίων, οἱ Μακεδόνες σύμμαχοι ὑμῶν γενόμενοι ἀπήλασαν ἀφ᾽ ὑμῶν τοὺς Κορινθίους. Καὶ τὸ ἄγαλμα χαλκοῦν Ἀθηνᾶς ἐγειράντων ἡμῶν[12] ἐν Μακεδονίᾳ, ὑμεῖς τοὺς ἀνδριάντας τοῦ πατρός μου ἐκ τῶν ἱερῶν[13] Ἀθηνῶν καθείλετε. Δίκαια[14] τὰ ἀντιμίσθια ἀπελάβομεν παρ᾽ ὑμῶν ἀνθ᾽ ὧν ἡμεῖς ὑμῖν ἐποιήσαμεν.[15] Ὅθεν μὴ θαῤῥοῦντες[16] τῇ γνώμῃ ἐφ᾽ οἷς ἡμάρτ[illegible]τε πρὸς ἡμᾶς δειλιᾶτε, μήπως τῇ βασιλικῇ δυνάμει ἐφ᾽ ὑμᾶς ἐπέλθω καὶ ἐμαυτοῦ ἔκδικος γένωμαι.[17] μόλις [δέ] ποτε ἠβουλόμην τοῦτο ποιεῖν ὑμῖν, ὅτι κἀγὼ Ἀθηναῖος ἦν.[18] Πότε γὰρ ὑμεῖς ὅλως τι καλῶς ἐβουλεύσασθε περὶ τῶν ἀνδρῶν, οἳ παρ᾽ ὑμῖν ἔνδοξοι ἐγένοντο; Εὐκλείδην ἐν φυλακῇ ἀπεκλείσατε ἄριστα συμβουλεύσαντα ὑμῖν[19] καὶ τὰ συμφέροντα ὑμῖν πρὸς Κῦρον.[20] Ἀλκιβιάδην ἐξυβρίσατε γενναίως στρατηγὸν γενόμενον ὑμῖν. Σωκράτην ἀνείλετε, τὸ διδασκαλεῖον τῶν καλῶν μαθημάτων Ἑλλάδος.[21] Φιλίππῳ ἠχαριστήσατε τῷ ἐν τρισὶ πολέμοις ὑμῖν συμμαχήσαντι. Ἀλέξανδρον μέμφεσθε ἕνεκα Στασαγόρου στρατηγοῦ ἀδικήσαντος ἐμὲ καὶ ὑμᾶς;

= IV, Di, μητρός

---

[1] Tilge *միաբանութեան*. [2] Æ verm.: ‘Annahmebeschluss’, wie nachher *վարկ յանձնկալութեան*. [3] Der Text von Æ etwas in Verwirrung. [4] So nach M. Æ: τῆς βασιλείας. [5] Æ irrig: Βασιλεὺς Ἀ. [6] Æ unverständlich: οὕτω γὰρ βουλομένης τῆς ἄνω προνοίας βασιλεύειν ἐμοί.. [7] Æ: δὲ. [8] w: mit Freude aufnehmen. [9] A: πολεμεῖν [10] Æ unverständlich: ἐλεγχόμενοι, οὐ διὰ τὴν ἰδίαν ὑμῶν βασιλείαν. [11] l. *եդիք* st. *եդի*. [12] Æ irrig: ὑμῶν. [13] l. *՚ի մեհենից* st. *վասն մեհենի* [διὰ τὸ ἱερόν]. [14] V: egregiam igitur vicem . . . [15] Æ: δίκαια ἦν τὰ ἀντιμίσθια [ἃ] ἀπελάβετε παρ᾽ ἡμῶν ὅσα ὑμεῖς ἀπέδοτε. [16] Von Æ irrthümlich in μὴ θαῤῥεῖτε aufgelöst. [17] Æ unverständlich: μήπως ἡ βασιλεία ἐφ᾽ ἡμᾶς ἔλθῃ. καὶ χρὴ ὑμᾶς ἑαυτῶν ἐκδίκους εἶναι. [18] Hier fehlt ein verbindender Gedanke. V: Enim intellego naturale vobis esse sic sapere. [19] Nach A V ist hier etwas ausgefallen. [20] Æ: Καῦον oder Κῷον. [21] A: τὸ παιδευτήριον Ἑλλάδος.

[illegible] A : τὴν Δημοσθένους ἐκκλησίαν

[illegible] A, [illegible] : τοῖς Ἀθηναίοις προσφωνῶ τοῖς ἔμφροσι τὸ χαίρειν.

A [illegible]: τὸ γὰρ χαίρειν ἐν ὑμετέρῳ ἔστιν· ἄνπερ ἦτε ἄξιοι καὶ πολεμισταὶ
ἀήττητοι, ὁρᾶτε ~~τοῦ~~ μὴ νῦν καθαιρεθῆτε τῆς δόξης μηδὲ ἐνδείξασθαι κ:

B: τὸ χαίρειν κεῖται πρὸς ὑμᾶς ὡς ἐν ὑστέρῳ μᾶλλον
χαιρετισθῆναι παρ' ἐμοῦ πάντες κατὰ τὸ πρέπον.

οὗτος γὰρ τὴν ἱέρειαν τῆς θεοῦ Ἀθηναίαν οὖσαν ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ. ἐγὼ δὲ τὴν προφητείαν αὐτῇ ἐδωρησάμην. Ἀποδέχομαι τὴν τῶν ὑμετέρων ῥητόρων πρὸς ὑμᾶς συνηγορίαν, Αἰσχίνην ὑμῖν πρέποντα συμβουλεύσαντα[1], Δημάδην δὲ γενναίως ὑμῖν ἐκκλησιάσαντα[2], Δημοσθένην δὲ πρὸς τὰ συμφέροντα ὑμῖν συμβουλεύσαντα. Νῦν δὲ ἔσεσθε[3] πάλιν Ἀθηναῖοι ἀνδρεῖοι, καὶ μηδὲν εὐλαβεῖσθε κακὸν παθεῖν. ἄτοπον γὰρ ἐμοὶ δοκεῖ ἐμὲ περὶ ἐλευθερίας μαχόμενον πρὸς τοὺς βαρβάρους τὸ [τῆς ἐλευθερίας] θέατρον Ἀθήνας καθαιρῆσαι.[4]"

6. Οὕτω δὲ γράψας ὁ Ἀλέξανδρος πρὸς τοὺς Ἀθηναίους εὐθέως παραλαβὼν ρμζ'. τὰ στρατεύματα παρεγένετο πρὸς τοὺς Λακεδαιμονίους. Οἱ δὲ ἀντετάξαντο αὐτῷ θέλοντες ἐνδείξασθαι τὸ γενναῖον αὐτῶν καὶ καταισχῦναι τοὺς Ἀθηναίους, ὅτι οὐκ ἀντετάξαντο πολέμῳ. Αὐτοὶ δὲ ἀπέκλεισαν τὰς πύλας καὶ ἔπλησαν[5] τὰς ναῦς στρατιωτῶν. μᾶλλον γὰρ ἔμπειροι ἦσαν ναυσὶ μάχεσθαι ἢ ἐπὶ τῆς γῆς ἀνδρείως πολεμῆσαι.[6]

Μαθὼν δὲ Ἀλέξανδρος τὴν πρὸς πόλεμον παρασκευὴν[7] αὐτῶν πέμπει ρμη'. αὐτοῖς πρῶτον αὐτὸς ἐπιστολὴν οὕτως· "Ἀλέξανδρος Μακεδὼν βασιλεὺς Λακεδαιμονίοις γράφω συμβουλεύων ὑμῖν, ἣν δόξαν[8] ἔχετε ἀπὸ τῶν προγόνων ὁλόκληρον φυλάσσειν. τὸ δὲ χαίρειν λέγειν[9] ὕστερον μενεῖ[10], ἥνπερ ἦτε ἄξιοι τὸν τοῦ χαίρειν ἀσπασμὸν παραλαμβάνειν. Ὥστε οὖν, ὦ γενναῖοι πολεμικοὶ καὶ ἀήττητοι, ὁρᾶτε, μήπως νῦν καθαιρεθῆτε τῆς δόξης. ἴσως[11] ἐνδείξασθαι βουλόμενοι τοῖς Ἀθηναίοις τὸ σθεναρὸν ὑμῶν, ὑπ' αὐτῶν καταγελασθήσεσθε ἡττηθέντες ὑπ' Ἀλεξάνδρου. Ἀπόβητε οὖν τῶν νεῶν καὶ τῆς κενῆς ἐλπίδος τῆς προσδοκίας[12] ὑμῶν ἑκόντες, ἵνα μὴ τὸ πῦρ ὑμᾶς καταφλέξῃ."

Οὕτως ἀνεγνώσθη ἡ ἐπιστολὴ παρ' αὐτοῖς. Οὐκ ἐπείσθησαν οἱ Λακε- ρμθ'. δαιμόνιοι, ἀλλὰ ἰσχυρῶς ὥρμησαν εἰς μάχην, ὥστε τοὺς ἐκ τοῦ τείχους ἀντιστρατευομένους καταπεσεῖν, τοὺς[13] δὲ ἐν ταῖς ναυσὶ καταφλεχθῆναι. Καὶ πυρὶ κατακαυθεισῶν τῶν νεῶν οἱ περιλειφθέντες ἦλθον ἱκέται πρὸς τὸν βασιλέα δεόμενοι, ἵνα μὴ αἰχμαλωτισθῶσιν.[14]

7. Κἀκεῖθεν ὁρμήσας Ἀλέξανδρος ἀπεχώρησεν εἰς τὰ μέρη τῶν βαρβάρων.[15] ρν'. Δαρεῖος δὲ συνήθροισε τοὺς ἡγεμόνας αὐτοῦ καὶ συνεβουλεύετο αὐτοῖς, τί δέον ἐστὶ πρᾶξαι, καὶ ἔλεγεν· "Ὡς ὁρῶ κατὰ τὸ ἐξανίστασθαι[16] πολεμήσας προβαίνει Ἀλέξανδρος πορεύεσθαι ἐφ' ἡμᾶς.[17] ἐγὼ δὲ αὐτὸν λῃστρικὰ φρονεῖν ὑπενόουν, αὐτὸς δὲ ἰδοὺ βασιλικὰ ἔργα ἐπιχειρεῖ. Καὶ ὅσον ἡμεῖς μεγάλοι εἶναι δοκοῦμεν Πέρσαι, μείζονα Ἀλέξανδρος τόλμην ἀναδεξάμενος ει?

---

[1] Ein որ ist ausgefallen. [2] Das tautologische առ ձեզ բարի ist zu tilgen. [3] Æ giebt ἀκούσατε, doch konnte լերուք leicht mit լուարուք vertauscht werden. Gegen ἀκούσατε spricht πάλιν. V: sit igitur Atheniensibus dignitas, quae cluebat. [4] Æ irrig: οὐ καθαιρῆσαι. [5] Æ irrig: ἔπρησαν. [6] Æ irrig: ἢ οἱ ἐπὶ τῆς γῆς ἀνδρεῖοι πολεμισταί. V: quod utrimque terra vel mari . . . [7] l. պատրաստութիւն. [8] l. փառս st. կամս. A: φήμην. [9] was in der Überschrift absichtlich weggelassen ist. [10] A: τὸ γὰρ χαίρειν ἐν ὑμετέρῳ ἔστιν [!]. [11] w: τίς οἶδε; l. գիտէ. [12] δόξης? [13] l. զայս. [14] Die Antwort Alexanders [AV] fehlt. [15] Hier endigt der Abschnitt, den nur AV und Æ haben. — AV haben noch den Zusatz: διὰ Κιλικίας. [16] V: incrementis bellicae rei sublimari. A: κατὰ προσθήκην. [17] A: ὁ πόλεμος εἰς δύναμιν ἐκβαίνει.

wie in A auch Bi, fehlt in BCL.

φαίνεται. Ἐμοὶ δοκεῖ, ὅτι ἐγὼ ἔπεμψα αὐτῷ σκῦτος καὶ σφαῖραν, οἷς ἔχει παίζειν μετὰ τῶν συνηλίκων καὶ παιδεύεσθαι. ὁ δὲ τελείως παιδευθεὶς ἐπ' ἐμὲ τὸν καθηγητὴν αὐτοῦ ἐπέρχεται τὰ ὅλα[1] νικᾶν. Ἀλλὰ σκεψώμεθα τὰ κοινῶς συμφέροντα καὶ ἀποκρινώμεθα εἰς ἐπανόρθωσιν τῶν πραγμάτων, μὴ ἐξουθενοῦντες ὡς μηδὲν τὸν ἀνδρεῖον Μακεδόνα καὶ ἐπαιρόμενοι τῇ τηλικαύτῃ βασιλείᾳ τῶν Περσῶν ἐπὶ ὅλης τῆς οἰκουμένης καταληφθῶμεν. Νῦν δὲ δέδοικα, μήπως ὁ μείζων τοῦ ἐλάττονος ταπεινότερος εὑρεθῇ, τοῦ καιροῦ καὶ τῆς ἄνω προνοίας μεταβολὴν τοῦ διαδήματος αὐτῷ παραχωρούσης.[2] Καὶ νῦν[3] συμφέρον ἐστὶ παραχωρεῖν (καὶ ἀπολείπειν) τὴν Ἑλλάδα, ἵνα ἡμεῖς μάλιστα τῶν βαρβάρων ἄρχωμεν καὶ μὴ ζητοῦντες τὴν Ἑλλάδα ὑποχείριον ἔχειν[4] ἀπολέσωμεν τὴν Περσίδα."

Hier fehlt auch Bi

ρνα'. Ταῦτα Δαρείου εἰπόντος Ὀξυδάρκης[5] ὁ ἀδελφὸς Δαρείου εἶπε πρὸς αὐτόν· "Ἤδη ἤρξω μέγαν ποιεῖν τὸν Ἀλέξανδρον καὶ θάρσος παρέχεις αὐτῷ προσέτι[6] ἐπιβῆναι τῇ Περσίδι παραχωρήσας (καὶ ἀπολιπὼν) τὴν Ἑλλάδα. Μιμούμενος καὶ σὺ τὸν Ἀλέξανδρον οὕτω βεβαίαν ἕξεις τὴν βασιλείαν. ἐκεῖνος γὰρ οὔτε τοῖς στρατηγοῖς οὔτε τοῖς σατράπαις αὐτοῦ ἐπίστευσε τὸν πόλεμον, ὥσπερ σύ, ὃς τοῖς σατράπαις σου πιστεύεις. ἀλλ' αὐτός ἐστι στρατηγός, σατράπης καὶ βασιλεύς. καὶ τοῖς στρατεύμασι μὴ πιστεύων πρῶτος αὐτὸς ὁρμᾷ εἰς τοὺς πολέμους[7] προασπίζων τῶν στρατοπέδων καὶ ἀνδρείως ἀποτιθέμενος τὴν βασιλείαν, καὶ τὴν μάχην νικήσας ἀναλαμβάνει τὸ διάδημα αὐτοῦ." Λέγει Δαρεῖος· "Κἀγὼ τί μιμήσωμαι αὐτόν;"

om. A

= Bi, μιμησώμεθα Gr.

ὦ?

ρνβ'. Καὶ ἕτερος στρατηγὸς εἶπεν αὐτὸ τοῦτο· "Πάντων περιεγένετο Ἀλέξανδρος οὐδὲν ὑπερτιθέμενος[8], πάντα γενναίως νικῶν[9], καὶ ἀληθῶς κατὰ τὴν γενναιότητα[10] καὶ ἡ μορφή [ἐστι]. τὸν γὰρ τύπον λέοντος ἔχει.[11]" Ὁ δὲ Δαρεῖος λέγει· "Σὺ ταῦτα πῶς οἶδας;" Ὁ δὲ λέγει· "Ὅτε ἐπέμφθην ὑπὸ σοῦ πρὸς Φίλιππον τὸν πατέρα αὐτοῦ, τὸν φόρον ἀπαιτῆσαι[12] τοὺς Μακεδόνας, ἔμαθον (καὶ ἠπιστάμην) αὐτοῦ τὸν τῆς ὁρμῆς χαρακτῆρα καὶ τὸ ὀξὺ τοῦ νοῦ καὶ τὸν τύπον τῆς φρονήσεως. Ὥστε καὶ σὺ μετάπεμψαι τοὺς τῆς ἀπεράντου[13] ἠπείρου σατράπας. ἔθνη γὰρ πολλὰ ἔστι σου, Περσῶν καὶ Πάρθων, Ἐλυμαίων καὶ Βαβυλωνίων, Μεσοποταμιτῶν[14] καὶ Λιβύων, ἔτι δὲ καὶ Ἰνδῶν — ἢ τὰ μέλαθρα Σεμιράμεως ἐξαριθμήσω; ἔστιν οὖν σου ἔθνη ἑκατὸν καὶ ὀγδοήκοντα[15]. ἐξ αὐτῶν στράτευσον καὶ[16] δυνατόν ἐστί σοι[νικᾶν, εἰ] τοὺς θεοὺς [ἔχεις εἰς συμμαχίαν].[17] εἰ γὰρ καὶ μὴ ἰσχύομεν βάρβαροι τῷ κράτει τοῦ σώματος ἡττᾶν τοὺς Ἕλληνας, ἀλλά γε τῷ πλήθει τῶν ὄχλων[18] θαμβήσομεν[19] τοὺς πολεμίους."

[καὶ Μήδων add. Gr.

ρνγ'. Καὶ ἕτερός τις[20] πάλιν εἶπε· "Καλῶς συνεβούλευσας τῷ βασιλεῖ, ἀλλὰ ἀνάξια.[21] μία γὰρ ἐνθύμησις Ἑλλήνων κατανικᾷ[22] τοὺς πολλοὺς ὄχλους τῶν βαρβάρων, ὥσπερ καὶ εἷς κύων Λακωνικὸς πολλὰς ἀγέλας ποιμνίων

ganz unverständlich.

---

[1] A: ἔσται τὰ ὅπλα νικήσων. [2] So M. Und dies war wohl auch von Æ beabsichtigt, der den Gen. abs. durch ի — առնել wiedergab. [3] Æ: εἰ νῦν. [4] M: λυτρώσασθαι. [5] M: Ὀξυάθρης. BC: Ὀξυδέρκης. [6] w: θ. π. [καὶ] προστίθησιν ἐπιβῆναι. [7] M: πολεμίους: V: in praelia. [8] 'aufschieben'. [9] M: ποιῶν. [10] Æ: γένεσιν. Doch A: γενναίαν τόλμαν. [11] Æ: καὶ — ἔχων. [12] So auch A. [13] M: ὅλης. [14] A fährt hier fort: καὶ τὴν Ἰλλυρίαν χώραν, ἵνα μὴ σοι τὰ Βακτρῶν καὶ τὰ Ἰνδῶν καὶ τὰ Σεμιράμεως μελάθρων εἴπω. [15] AV. [16] Æ: εἰ. [17] Nach M. [18] Verm. ամբոխից. [19] 'in Furcht setzen'. [20] M: ἀκούσας δὲ ταῦτα ὁ Δαρεῖος εἶπε. [21] 'wertloses'. [22] w: νικήσασα ταπεινοῖ.

ᾶ. Bi

τοὺς χαρακτῆρας -- καὶ τὴν μορφὴν καὶ τὴν φρόνησιν Gr.

= A, [illegible] BC [illegible]; [illegible] A [illegible] Bi.

fehlt in Gr.; [illegible] Bi: κἂν μὲν μὴ ἰσχύσωμεν αὐτοὶ δυνάμει μαχεσθῆναι
καὶ πολεμῆσαι τοὺς ἐχθρούς, ἀλλ' οὖν γε τούτους μᾶλλον
τῷ πλήθει περιχαρήσομεν ποιήσαντες φυγάδας.

⌊ψυχροῦ δὲ ὄντος σφόδρα τοῦ ὕδατος κτλ. Gr.

⌊φύλαττε οὖν σεαυτόν, βασιλεῦ, ἀπὸ Φιλίππου κτλ. Gr.

×Φίλιππε, πῶς σοι ἐμαυτὸν πιστεύσω; Gr. – Φ., πίω τοῦτο· σοὶ γὰρ πιστεύω ἐμαυτόν Bi.

ἀποδιώκει." Οὕτω βουλευσαμένων αὐτῶν ἔπειτα ἐκέλευσε Δαρεῖος συναθροίζεσθαι τὸ πλῆθος τῶν μαχητῶν.

8. Ὁ δὲ Ἀλέξανδρος διώδευσε διὰ Κιλικίας. Καὶ ἔστιν ἐκεῖ ποταμὸς ρνδ'. λεγόμενος Ὠκεανός.[1] καθαρόν ἐστι τὸ ὕδωρ καὶ διαυγέστατον. (= BC, κατάρρεον A, Bi) ἐπεθύμησεν ὁ βασιλεὺς λούσασθαι ἐν αὐτῷ, καὶ ἀποδυσάμενος ἐλούσατο[2] ἐν τῷ ποταμῷ καὶ ἐξελθὼν ἐθεραπεύθη. (om. Gr.) ⌊Ἀλλ' οὐχ ἐγένετο αὐτῷ τὸ λοῦτρον σωτήριον. ἀποψυχθεὶς (om.) γάρ[3] ἤλγησε τὴν κεφαλὴν καὶ πᾶσι τοῖς ἐνδοσθίοις χαλεπῶς διέκειτο. Οἱ δὲ Μακεδόνες κατακειμένου τοῦ Ἀλεξάνδρου νόσῳ καὶ αὐτοὶ τὰς ψυχὰς αὐτῶν ἐνόσουν[4], μήπως ἐπιγνοὺς Δαρεῖος τὴν νόσον Ἀλεξάνδρου ἐπέλθῃ σὺν στρατεύμασιν. Οὕτω μία ψυχὴ Ἀλεξάνδρου τοσαύτας ψυχὰς τῶν στρατοπέδων ἐθάρσυνε.[5] (= Bi, Gr. ἔθραυσε.)

Καὶ ἦν ἐκεῖ τις Φίλιππος ὄνομα καλούμενος, φίλτατος τῷ βασιλεῖ, ἰατρὸς ρνε'. (= A, om. BCL) ἀγαθὸς καὶ ἔμπειρος. ἐπηγγείλατο Ἀλεξάνδρῳ δοῦναι καταπότιον καὶ ἀπαλλάξαι αὐτὸν τοῦ πάθους τῆς νόσου. Ὁ δὲ βασιλεὺς πρόθυμος ἦν δέξασθαι τὸ Φιλίππου ηὐτρεπισμένον φάρμακον. (καὶ ὁ Φ. ηὐτρέπισε τὸ φάρμακον Gr.) Ἐπιστολὴ δὲ παρεδόθη Ἀλεξάνδρῳ πεμφθεῖσα ὑπὸ Παρμενίωνος στρατηγοῦ, ὡς ὅτι Δαρεῖος ἔπεισε[6] Φίλιππον τὸν ἰατρόν, ἵνα ἐὰν εὐκαιρίαν εὕρῃ φαρμακεύων ἀνέλῃ Ἀλέξανδρον, ἐπαγγειλάμενος αὐτῷ δοῦναι τὴν ἰδίαν ἀδελφὴν πρὸς γάμον, ᾗ ὄνομα ἦν Δαγιφάρτα[7], καὶ κοινωνὸν εἶναι τῆς βασιλείας αὐτοῦ, καὶ ὑπέσχετο Φίλιππος τοῦτο ποιεῖν Δαρείῳ. ⌊Ὁ δὲ Ἀλέξανδρος ἀναγνοὺς τὴν ἐπιστολὴν οὐδὲν ἐταράχθη. ᾔδει γὰρ τὴν γνώμην Φιλίππου, οἵαν φιλοστοργίαν εἶχε (οἷα ἣν πρὸς αὐτὸν εἶχε τὴν στοργὴν κτλ. Bi.) πρὸς αὐτόν. καὶ ἔθετο τὴν ἐπιστολὴν ὑπὸ τῷ προσκεφαλαίῳ[8].

Ἐλθὼν δὲ Φίλιππος ὁ ἰατρὸς ἐπέδωκεν αὐτῷ τὴν κύλικα τοῦ φαρμάκου ρνς'. λέγων· "Πίε[9], δέσποτά μου βασιλεῦ, καὶ ἀπαλλαχθήσῃ τῆς νόσου." Λαβὼν δὲ Ἀλέξανδρος τὴν κύλικα τῇ χειρὶ καὶ ἀτενίσας ἔβλεπεν εἰς τὸ πρόσωπον Φιλίππου ἐπὶ πολὺ λέγων· "Πίνω, Φίλιππε, ἐμαυτὸν πιστεύσας σοι.×[10]" Λέγει ὁ ἰατρός· "Πίε, βασιλεῦ, καὶ μὴ εὐλαβηθῇς, ἀνέγκλητον γάρ ἐστι τὸ φάρμακον." Ὁ δὲ βασιλεὺς εἶπεν· "Ἰδοὺ πίνω." Καὶ εὐθέως ἐξέχεε πίνων τὸ φάρμακον. Τότε μετὰ τὸ πίνειν ἔδωκε τὴν ἐπιστολὴν εἰς τὰς χεῖρας αὐτοῦ. Καὶ ἀναγνοὺς τὴν περὶ ἑαυτοῦ κατηγορίαν εἶπε· "Δέσποτά μου Ἀλέξανδρε, οὐχ εὑρήσεις ὅμοιόν με τοῖς γεγραμμένοις."

Σωθεὶς δὲ Ἀλέξανδρος τῆς νόσου[11] περιεπλάκη τῷ Φιλίππῳ καὶ εἶπεν· ρνζ'. "[Ἔμαθες][12] ποίαν γνώμην ἔχω πρὸς σὲ φιλίας[13]. πρότερον γὰρ εἰληφὼς τὴν ἐπιστολὴν τοῦ φαρμάκου[14], ὅτε ἔπιον, τότε ἔδωκά σοι εἰς χεῖρα τὴν ἐπιστολὴν πιστεύσας ἐμαυτὸν τῷ ὀνόματί σου. ᾔδειν γάρ, ὅτι Φίλιππος κατὰ Ἀλεξάνδρου[15] οὐδὲν χαλεπῶς βουλεύσεται.[16]" Λέγει ὁ ἰατρός· "Ἀλέξανδρε, νῦν διάφθειρε[17] τὸν πέμψαντά σοι τὴν ἐπιστολήν, τὸν Παρμενίωνα. οὗτος γὰρ ἔπειθέ με φαρμάκῳ ἀναιρῆσαί σε, ἵνα λάβω[18] τὴν ἀδελφὴν Δαρείου Δαγιφάρταν πρὸς γάμον. καὶ ἐμοῦ, δέσποτά μου, μὴ βουλομένου, ἰδὲ οἵῳ χαλεπῷ ἠβούλετο ἀπολλύναι με." Ταῦτα ἐξετάσας Ἀλέξανδρος καὶ εὑρὼν ἀνέγκλητον Φίλιππον διέφθειρε τὸν Παρμενίωνα.

---

[1] So AB. V: Cydnus. [2] M: ἐνήλατο. [3] A: εὐθὺς γὰρ . . [4] So nach Var. Die Recepta: ἐφοβοῦντο. [5] M: ἔθραυσε. [6] M: εἶπε. [7] AC: Δαδιφάρτα. (καὶ Bi.) Übrigens sind γ und δ im Arm. leicht zu verwechseln. [8] M: πρὸς τῇ κεφαλῇ αὐτοῦ. [9] Æ stärker: μέθυε. [10] M: πῶς . . . πιστεύσω; [11] Æ: Plur. [12] Nach M ergänzt. [13] So C. M: Φίλιππε. [14] Von Æ in Verkennung der Natur dieses Genitivs ebenfalls durch den Gen. wiedergegeben. [15] Gemeint wohl ᵹ mit Abl. [16] M: χαλεπὸν ἐβουλεύσατο. [17] M: κόλαζε. [18] So C. M: λάβῃ.

9.

ρνη΄. Κἀκεῖθεν παραλαβὼν τὰ στρατόπεδα παρεγένετο εἰς τὴν τῶν Μήδων χώραν, καὶ ἠπείγετο εἰσέρχεσθαι εἰς τὴν μεγάλην Ἀρμενίαν. Καὶ τούτους πείσας[1] ὥδευσεν ἱκανὰς ἡμέρας δι' ἀνύδρων τόπων καὶ διὰ φαράγγων ὀφιώδων[2] καὶ διὰ τῆς Ἀριακῆς[3] διελθὼν παρεγένετο πρὸς ποταμὸν Ἀράζανι[4], ὃς καταφέρεται ἀπὸ ἀνθηρῶν ὀρέων τῆς Ἄγγλης χώρας ἐν ταῖς κρήναις[5] τοῦ Εὐφράτου κατέναντι τοῦ ὄρους Ἀραράτου.[6] καὶ τοῦτον γεφυρώσας ψαλίσι καὶ σιδηραῖς κνήμαις, αὐτὸν[7] ἐκέλευσε τὰ στρατόπεδα περᾶσαι. Ὡς δὲ εἶδεν αὐτοὺς δειλιῶντας, ἐκέλευσε τὰ κτήνη καὶ τὰς ἁμάξας[8] καὶ τὴν τροφὴν πάντων διαπερᾶσαι πρῶτον. καὶ τότε τὰ στρατόπεδα ἐκέλευσε περᾶν. Οἱ δὲ δειλῶς εἶχον ὁρῶντες τὴν ἐπίρροιαν τοῦ ποταμοῦ, μήπως αἰφνιδίως καταλυθῶσιν αἱ ψαλίδες. Μὴ τολμώντων δὲ αὐτῶν περᾶσαι, λαβὼν τοὺς ὑπερασπιστὰς πρότερον αὐτὸς διέβη ὁ βασιλεὺς πάντων τῶν στρατοπέδων, καὶ τότε ταῦτα.

om. Gr.

ρνθ΄. Ἔστι δὲ Τίγρις[9] ποταμὸς μέγας καὶ Εὐφράτης[10] ἐν Μεσοποταμίᾳ καὶ ἐν Βαβυλῶνι, οἵτινες ῥέουσιν εἰς τὸν Νεῖλον ποταμόν. φασὶ γάρ· ὅτε Νεῖλος ἐν ἐτησίοις χρόνοις ×ἐκχεῖται ποτίζειν τὴν κοσμοτρόφον Αἴγυπτον, τότε οἱ ποταμοὶ[11] οὗτοι Τίγρις καὶ Εὐφράτης κενοῦνται. ἀλλ' ὅτε ἐπιλείπει καὶ ἀποβαίνει τῆς Αἰγύπτου, οὗτοι ἐκχέονται.[12]

= Bi, om. A;

ρξ΄. Ἐπεὶ[13] διῆλθεν Ἀλέξανδρος καὶ πᾶσαι αἱ φάλαγγες τῶν στρατοπέδων, τότε ἐκέλευσε τὸ ζεῦγμα τοῦ Εὐφράτου ἀπαίρεσθαι. Οἱ δὲ στρατιῶται σφόδρα ἐδυσχέραναν τούτῳ καὶ μάλα κακῶς δειλιῶντες εἶπον· "Εἰ γένοιτο ἡμᾶς πολεμοῦντας ἀνατραπῆναι ὑπὸ τῶν βαρβάρων, πῶς ἔχομεν διαπερᾶσαι εἰς σωτηρίαν;" Ὁ δὲ βασιλεὺς ἀκούσας τὰ αἰτιάματα τῶν στρατευμάτων, συνήγαγε τοὺς στρατηγοὺς αὐτῶν καὶ τοὺς σατράπας καὶ πάντα τὰ στρατεύματα καὶ εἶπεν αὐτοῖς·⌈ "Καλὴν ἐλπίδα παρέχετέ μοι τῆς νίκης τοῦτο [κατὰ γνώμην][14] ἔχοντες ὡς ἡττημένοι ὑποστραφῆναι. Διὰ τοῦτο οὖν ἐκέλευσα ἐγὼ ὑμᾶς ἐκκόπτειν τὴν γέφυραν, ἵνα πολεμοῦντες νικήσητε καὶ μήπως ἀνατραπέντες εἰς φυγὴν ἀναχωρήσητε. οὐ γάρ ἐστιν ὁ πόλεμος τῶν φευγόντων, ἀλλὰ τῶν διωκόντων. Διὸ ὄμνυμι τὴν ἄνω πρόνοιαν [καὶ] τὴν ἐπάνοδον τὴν εἰς Μακεδονίαν μοι γινομένην· νικῶν τοὺς βαρβάρους νικηφόρος εἰς τὴν Ἑλλάδα σὺν ὑμῖν ὑποστρέψω. ὑμεῖς μόνον εὖ θαῤῥεῖτε, καὶ ἡ συμβολὴ τοῦ πολέμου ὡς παίγνιον δόξει ὑμῖν." ἡμῖν ἔσται A

Γ ἄνδρες συστρατιῶται [illegible] Gr., om. Bi.

om. A
= A,
BCL Bi
[illegible]
om. Gr.

ρξα΄. Οὕτως ἐπιτάξαντι Ἀλεξάνδρῳ τιμὰς ἐπέδωκε τὰ στρατόπεδα καὶ προθυμίαν. θαῤῥαλέως τῷ πολέμῳ ἐπέστησαν[15]. ἑαυτῷ σκηνὰς πηξάμενος ἐκαθέζετο ἐκεῖ στρατοπεδευσάμενος. Τὸ δὲ Δαρείου στρατόπεδον [ἐκαθέζετο][16] ἐπάνω τοῦ Τίγριδος ποταμοῦ, καὶ τούτοις ὀπισθοφύλακες ἦσαν πέντε σατράπαι. συνέβαλον ἀλλήλοις[17] πολέμῳ ἀμφότεροι, γενναίως ἐπολέμουν.

ρξβ΄. Περσῶν δέ τις ὄπισθεν Ἀλεξάνδρου ἐλθὼν καὶ ἀναλαβὼν Μακεδονικὸν

---

[1] M: δουλωσάμενος. Die arm. Wörter für beide Thätigkeiten können leicht verwechselt werden. [2] 'reich an Windungen'. [3] M: Ἀρειανῆς. [4] Genau: Aradsani. Gew. = Εὐφράτης. Doch ist hier wohl an den sogen. südl. Euphrat oder Ἀρσανίας gedacht. [5] Wohl: յականց st. յակունքն. [6] Diese Bestimmung sonst nirgends. [7] l. ընդ նա. [8] M: χάρνα. A: πρόβατα. [9] Deklath. Der Inhalt dieses Cp. nur noch bei A. [10] Aradsani. [11] l. գետք. [12] A: πλημμυροῦσι. [13] վասն զի steht öfter für ἐπεί. [14] Aus M. [15] w: ἔστασαν ἐν τῷ τόπῳ τοῦ πολέμου. A: ἐπέβαινον. [16] Aus M. [17] w: αὐτοῖς.

καὶ τὰ πρόβατα (κάρνα Müller) καὶ τὰς τροφὰς πάντων A.

× A [illegible]: εἰς τὴν Αἴγυπτον ἔρχεται – Bi [illegible]: πλημμυροῦν ... τὴν κοσμοτρόφον Αἴγυπτον.

BC: ἵνα πολεμοῦντες νικήσητε – A: ἵνα ἢ πολ. νικήσωμεν ἢ ἡττηθέντες ἀπολλώμεθα.
L: ἵνα —— —— καὶ ἡττηθέντες μὴ φύγητε – [illegible] Bi:
ὅπως ὑμεῖς νικήσητε μαχόμενοι γενναίως,
καὶ μὴ τραπέντες φύγητε, κάλλιστοι Μακεδόνες.

καὶ εὐθέως τῷ πολέμῳ ἐπέβαινον καὶ σκηνοποιούμενοι ἐκαθέζοντο Gr.

[illegible] Bi: ὃ (στράτευμα) δὴ καὶ προηγοῦντο
πέντε σατράπαι δυνατοὶ κάλλιστοί τε πρὸς μάχην.

Γνομίσας αὐτὸν Μακεδόνα εἶναι add. gr., om. Bi.

[illegible]

ὅπλον, ὡς σύμμαχος Μακεδόνων, ἔτυπε τὸ διάδημα Ἀλεξάνδρου καὶ ἔθραυσε τὴν κόρυθα[1] αὐτοῦ. αὐτὸν δὲ συλληφθέντα ὑπὸ τῶν στρατοπέδων ἀγαγόντες παρέστησαν Ἀλεξάνδρῳ. Καὶ λέγει αὐτῷ· "Τίς εἶ, γενναῖε;[2] τί ἔδοξέ σοι τοῦτο ποιῆσαι;" Ὁ δὲ λέγει· "Ἀλέξανδρε, μὴ πλανήσῃ σε τὸ Μακεδονικὸν ὅπλον, ἐγὼ γὰρ Πέρσης εἰμί, Δαρείου σατράπης. ἐγὼ γὰρ προσελθὼν εἶπον Δαρείῳ· ἐὰν κομίσω σοι τὴν κεφαλὴν Ἀλεξάνδρου, ἐμοὶ τί χαρίζει; ὁ δὲ ἐπηγγείλατο διδόναι μοι χώραν βασιλείας καὶ τὴν θυγατέρα αὐτοῦ πρὸς γάμον. καὶ ἐγὼ οὖν αὐτὸς ἐγὼ παρεγενόμην καὶ οὐκ ἐπέτυχον ὃ ἐζήτησα.[3]" Ἀκούσας ταῦτα Ἀλέξανδρος καὶ μεταπεμψάμενος τὰ στρατόπεδα αὐτοῦ θεωρούντων αὐτῶν ἐνώπιον αὐτῶν ἀπέλυσε τοῦτον λέγων· "Ἄνδρες Μακεδόνες, τοιούτους τῇ εὐνοίᾳ δεῖ εἶναι τοὺς στρατιώτας." 10. Ἡττηθέντες δὲ οἱ βάρβαροι τὰ ἐπὶ τὴν χρείαν τῶν τροφῶν μὴ ἔχοντες ἔσπευδον εἰς τὴν τῶν Βακτριανῶν χώραν εἰσέρχεσθαι. ὁ δὲ Ἀλέξανδρος[4] ἐπέμεινεν ἐκεῖ κρατήσας τοὺς τόπους αὐτῶν.

κατήνεγκεν τὸ ξίφ
κατὰ τῆς κεφαλῆς gr
ἀναλαβόμενος σχῆμ
Μακεδονικόν add. BCl
om. Bi.
om. gr.

Πάλιν δὲ ἕτερος σατράπης Δαρείου εἰς τὸν θάνατον δοὺς ἑαυτὸν[5] προσῆλθε πρὸς Ἀλέξανδρον καὶ εἶπε· "Δέσποτα βασιλεῦ, ἐγὼ σατράπης εἰμὶ Δαρείου καὶ μεγάλα πράγματα συνετέλεσα αὐτῷ ἐν πολέμοις καὶ οὐκ ηὐχαριστήθην παρ' αὐτοῦ, οὐ γὰρ ἄξια, ὧν ἔπραξα, ἀπέδωκε[6]. σὺ δὲ δός μοι μυρίους πανόπλους στρατιώτας. μετὰ τούτων καὶ τῶν ἐμῶν στρατιωτῶν μαχεσάμενος πρὸς τὰ στρατεύματα αὐτοῦ δίδωμί σοι εἰς χεῖρας τὸν βασιλέα τῶν Περσῶν." Λέγει αὐτῷ Ἀλέξανδρος· "Πρὸς τοῦτο εὐχαριστῶ.[7] πορεύου καὶ βοήθει τῷ σῷ βασιλεῖ. οὐ γὰρ πιστεύω σοι τοὺς ἀλλοτρίους τῷ προδόντι τοὺς σούς." ρξγ'.

om. gr.
om. gr.
om. gr., habet JV.
om. gr.

Ἔγραψαν καὶ οἱ ἐν ἐκείνοις τοῖς τόποις σατράπαι Δαρείου τοιάδε· "Τῷ βασιλεῖ ἡμῶν Δαρείῳ Ὑστάσπης[8] καὶ Σπανδιάταρος δεσπότῃ χαίρειν. Καὶ πρότερον φανεράν σοι ἐποιήσαμεν τὴν Ἀλεξάνδρου ἐπίβασιν τοῦ ἔθνους ἡμῶν. καὶ νῦν πάλιν σοι ἀγγέλλομεν ἔρχεσθαι αὐτὸν[9] εἰς τοὺς τόπους τούτους καὶ πολιορκεῖν τὴν χώραν ἡμῶν καὶ ἀναιρεῖν πολλοὺς[10] καὶ πολλοὺς Πέρσας. καὶ ἡμεῖς κινδυνεύομεν[11] τοῦ ἀπολέσθαι. Τάχυνον[12] οὖν μετὰ πολλῆς δυνάμεως προφθάσαι αὐτὸν καὶ μὴ συγχωρῆσαι αὐτῷ ἐπελθεῖν σοι. ἰσχυρότερον γὰρ καὶ πλεῖόν ἐστι τὸ τῶν Μακεδόνων στράτευμα τοῦ ἡμετέρου. ἔρρωσο, δέσποτα ἡμῶν." ρξδ'.

d. Namen nur in A, JV.
δυναμικὸν καὶ πλεῖστ
gr.
om. gr.

Λαβὼν δὲ Δαρεῖος καὶ ἀναγνοὺς ἔπεμψεν Ἀλεξάνδρῳ ἐπιστολὴν οὕτω γράφων· "Δαρεῖος βασιλεὺς Ἀλεξάνδρῳ ταῦτα γνωρίζει. Ἔγραψάς μοι ἐπιστολὴν[13] ὑπερήφανον, δι' ἧς ἡμᾶς ἐπιζητεῖς [καταφοβεῖν. Ἀλλὰ μὴν τῶν θεῶν συμμαχούντων πικρότερον τὴν τόλμην σου ἐκδικήσομεν][14]. Ἐν τύχῃ [γὰρ] οὐχ οὕτως ἕξεις ἂν τὴν ἄγκυραν, ὥστε ἀπ' ἀνατολῶν θεοὺς εἰς δυσμὰς κατοικίζειν.[15] Μαρτύρομαι δὲ τοὺς θεούς, ἐφ' οἷς τοὺς ἐμοὺς[16] εἰργάσω [μηδὲν πλέον σοι γενήσεσθαι]. ἡγήσομαι γὰρ τὴν μὲν μητέρα εἰς ρξε'.

---

[1] M: κορυφήν. [2] M nur: ὦ γενναῖε. [3] M: ἤλπιζον. [4] Hier Skandar. [5] παραβουλευσάμενος. [6] V: haud parem gratiam. [7] Dies ist wohl eine Zugabe des Übersetzers. [8] Wie in ρι'. [9] l. գնա st. նմա. [10] Besser A: ἡμᾶς πλείστους. [11] w: ἐν κινδύνῳ θανάτου ἔσταμεν. [12] w: σπεῦδε ταχέως. [13] Vgl. ρζ'. [14] Versuchsweise ergänzt. [15] So nach A. Æ giebt dagegen Folgendes: δι' ἧς ἡμᾶς ἐπιζητεῖς ἐντυγχάνειν σοι. οὐχ ἤδη ἔξυσα [delevi?] τὴν Ἄγκυραν τοὺς ἀπ' ἀνατολῶν θεοὺς εἰς δυσμὰς κατοικίζειν; [16] So dürfte statt des auch von M gegebenen ἐφ' οἷς με zu setzen sein.

findet sich gleichfalls [illegible]

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА * БЕОГРАД

θεοὺς πεπορεῦσθαι[1], γυναῖκα δὲ οὐκ ἔχειν καὶ τέκνα ὅλως οὐκ εἶναι. Ἐγὼ δὲ οὐ παύσομαι τὴν ὕβριν[2] ἐκζητῶν[3]. ἐγράφη γάρ μοι, ὅτι εὐσεβὴς ἐγένου πρὸς τοὺς ἐμούς. [Μὴ ἔλπιζε διὰ τούτου τὸν θυμόν μου πραΰνειν].[4] εἰ γὰρ δικαίως ἐποίεις καὶ τὰ πρὸς ἐμὲ δίκαια φυλάσσων, ἔρχεσθαι πρὸς ἐμὲ ἠβούλου ἂν καὶ διὰ τούτων τὰς ἰσοθέους τιμὰς ἀπονέμειν[5] [ἐμοὶ καὶ] τοῖς ἐμοῖς. Ἔξεστί σοι λοιπὸν τῶν ἐμῶν μὴ φείδεσθαι, κακουχεῖν δὲ ὡς πολεμίου τέκνα. οὔτε γὰρ εὐεργετῶν αὐτὰς δυνήσῃ με φίλον ἔχειν, οὔτε κακοποιῶν διὰ τοῦτο ἐχθρόν. ἐν γὰρ ἑνὶ κέκριταί[6] μοι ἀμφότερα. Δήλωσον οὖν μοι τὴν ἐσχάτην ἀπόκρισιν, ἵνα εἰδῶμεν[7] τὸ ἄξιον τῆς ἡμετέρας ὠφελείας."

ρξς΄. Ἀλέξανδρος δὲ ἀναγνοὺς μάλα ἐμειδίασε καὶ ἀντέγραψεν ἀντιγραφὴν
om. gr. οὕτως· "Βασιλέων βασιλεὺς Ἀλέξανδρος Δαρείῳ βασιλεῖ χαίρειν. Τὴν κενὴν
om. gr. ὑπερηφανίαν[8] καὶ τὴν φλυαρίαν καὶ τὴν ματαίαν καὶ πλανῶσαν ὁμιλίαν[9]
οἱ θεοὶ κατέγνωσαν[10] μέχρι τέλους. οὐ γὰρ παύῃ βλασφημῶν καὶ μάταια
ὑπονοῶν. Γίγνωσκε οὖν, ὅτι οὐ φοβούμενος τετίμηκα τοὺς σοὺς[11] οὐδὲ
ἐλπίζων ἐλθεῖν [σε] εἰς διαλλαγὴν ἐκολάκευσα, ἵνα παραγενόμενος πρὸς
δόγμα A ἡμᾶς[12] εὐχαριστήσῃς ἡμῖν. οὐ γὰρ [ἀπ]άξιόν[13] ἐστι τὸ ἐμὸν διάδημα τοῦ
σοῦ διαδήματος. ἀλλ' οὐ μὴν τὴν πρὸς ἅπαντας εὐσέβειάν μου [κωλύσεις],
καὶ περισσότερον πρὸς τοὺς σοὺς [εὐσεβήσω] καλέσας[14] ἐξ οὐρανοῦ εἰς
τὸ ἔδαφος πεπτωκότας. Ἐσχάτην οὖν σοι ἐπιστολὴν γράφω. βέβαιον καὶ
ὡρισμένον ἐστὶν ἐμοί, [ἀπὸ τοῦ νῦν] ἄλλο τι ἀγγέλλεσθαί [σοι] ἢ τὸ
γνησίως καὶ κατὰ φιλίαν ἔχειν [με][15] πρὸς σέ."

πέμψας A ρξζ΄. Καὶ ἀντιγράψας αὐτῷ Ἀλέξανδρος ἕτοιμος ἐγένετο πρὸς πόλεμον. καὶ 11.
ἔγραψε τοῖς ὑφ' ἑαυτῷ σατράπαις ἐπιστολὴν περιέχουσαν τοιάδε· "Βασιλεὺς
om. gr. Σκανδάριος, ὃς καὶ Ἀλέξανδρος, τοῖς σατράπαις ταῦτα λέγω τοῖς ὑποτεταγμένοις μοι Φρυγίας, Καππαδοκίας, Κιλικίας, Ἀραβίας καὶ πάντων τῶν
ἄλλων ἐθνῶν χαίρειν. Βούλομαι ὑμᾶς χιτῶνας κατασκευάσαι πρὸς ἄνδρα
πλήθους πολλοῦ ἰσχυρὸν[16] καὶ στεῖλαι εἰς Ἀντιόχειαν τῆς Συρίας, καὶ ὅσους ἀπέκτεινα
τετράποδας[17], τούτων βύρσαι[18] ἀποσταλήσονται εἰς Ἀντιόχειαν τῆς Συρίας,
ἵνα οἱ στρατιῶται εὕρωσι[19] τὰ πρὸς τὴν χρείαν τῶν κνημίδων καὶ ὑποδημάτων καὶ ὁπλοθήκας κατασκευάζειν[20], ὧν[21] ἕκαστος τὸν ἀριθμὸν ἔσχετε.
ποιήσατε καὶ στείλατε εἰς Ἀντιόχειαν. διατεταγμέναι γάρ εἰσι κάμηλοι
τρισχίλιαι ἀπὸ τοῦ Εὐφράτου ποταμοῦ μέχρι τῆς Ἀντιοχείας πρὸς τὸ
cf. Bi. διακονεῖν. Ἑτέρας δὲ τρισχιλίας καμήλους, αἳ ἐν Ἀντιοχείᾳ εἰσίν, ἐκελεύσαμεν ἀπαντᾶν ἐκείναις[22]. τὰς μὲν ἐπάγειν, τὰς δὲ ἀπ' αὐτῶν διαβι-

---

[1] Æ: πορεύεσθαι, wie BC. [2] Da die griech. Codd. ὕβρις haben, so wird թշնամիս [ἐχθρούς] Änderung von ursprünglichem թշնամանս sein. [3] So BC. A: ἐπεκδικῶν. [4] Nach V. [5] Æ: ἀπονέμεις. A: ἀπονέμων. [6] A: κεῖται. [7] A: ἴδωμεν. [8] M: ἀπονοίας. [9] = λάλημα, λόγος. [10] M: ἐμίσησαν. [11] A: τοὺς σοὺς υἱούς. [12] Æ unrichtig: πρὸς σέ. [13] Der Satz will wohl begründen, weshalb Alex. Darius weder zu fürchten noch ihm zu schmeicheln braucht. [14] So auch A. Vielleicht: οἰκτείρων ὡς.. [15] Im Text: ἔχειν τι. [16] 'für eine zahlreiche Mannschaft'. [17] Verm. մեռուցի չորքոտանիս. [18] Sonst nirgends. nur in Bi. [19] Æ: εὕρωσι ἔργον. [20] Viell. zu ergänzen: βούλομαι ὑμᾶς und gemeint: die Satrapen sollen eine bestimmte, ihnen schon vorher bekannt gegebene Zahl von ὁπλοθῆκαι verfertigen lassen. [21] St. զորոյ ist wohl զորոց zu lesen. [22] Æ: ἀλλήλαις·

gr. hist.

δόγμα cod.

A: οὐ γὰρ ἄξιόν ἐστι τὸ ἐμὸν διάδημα τοῦ σου διαδήματος· οὐ μὴν τῆς περὶ πάντας εὐσεβείας μου περισσότερον καὶ τοὺς σοὺς καλέσας ἐξ οὐρανοῦ εἰς τὸ ἔδαφος πεπτωκότας· ἐσχάτην οὖν σοι ἐπιστολὴν γράφω. εὐκοπώτερον εἶναι ἄλλος με πολεμεῖν σοι ἢ πλησίον ἔχειν πρός σε.

Συρίας καὶ Κιλικίας A – Παφλαγονίας alii gr.

3. [illegible] A u. Bi. –
4. [illegible] : αὐτὸς γὰρ τετραυμάτισμαι· δύο μεγιστᾶνες ἀπώλοντο· Κωμάρξης δὲ τραυματίας γενόμενος ἀνεχώρησεν εἰς τὸ ἴδιον σκήνωμα, Νανίας δὲ καὶ οἱ ὑπ' αὐτὸν μεγιστᾶνες διέβησαν πρὸς Ἀλ. εἰσοδίας λαβόντες καὶ βασιλικὰ χωρία παρέδωκαν σὺν ταῖς ἐνούσαις παλλακαῖς καὶ Ὀλυμπιάδα τὴν τοῦ Θριδάτου ἀδελφήν· καὶ τὰ χωρία ἐνεπύρισαν.

A: τῷ ἔγγιστα σατράπῃ Πηγγάλῳ (sic; Πιττακῷ Bi) γενέσθαι ἕτοιμον καὶ παρεμβολὴν θεῖναι.

βάζειν, ἵνα ἄνευ ὑστερήματός τινος τὴν ὑπουργίαν ἔχωσι[1] καὶ ταῦτα[2] ᾖ ἕτοιμα. ἔῤῥωσθε."

Προέγραψε καὶ Δαρείῳ σατράπης περὶ τῶν ἐνεστώτων τάδε· "Δαρείῳ ρξη'.
τῷ ἐμῷ δεσπότῃ ἀπὸ Νοταρέσου[3] χαίρειν. Εὐλαβῶς ἔχω τοιαῦτα γράφειν σοι, ἀναγκάζομαι δὲ ὑπὸ τῶν τοῦ παρόντος χρόνου πραγμάτων. Γίγνωσκε, δέσποτά μου, ὅτι Κωσάρης τετραυματισμένος ἐστί[4], δύο δὲ μεγιστᾶνες τεθνήκασι. Κωσάρης[5] δὲ τραυματίας γενόμενος ἀνεχώρησεν εἰς τὸ ἴδιον σκήνωμα. οἱ δὲ ἐχθροί, ὅσα αὐτοῖς συμφέροντα ἦν ἀπήνεγκαν. Ἀννίας[6] δὲ καὶ οἱ ὑπ' αὐτῷ μεγιστᾶνες διέβησαν πρὸς Ἀλέξανδρον εἰσόδους[7] λαβόντες, βασιλικὰ χωρία ἐμπυρίσαντες[8] σὺν ταῖς ἐνούσαις παλλακαῖς, τὴν Μιθραδάτου[9] ἀδελφὴν ἀπέκτειναν καὶ τὸ χωρίον κατέφλεξαν."

Νοσταρης Bi
om. A

Γνοὺς δὲ ταῦτα Δαρεῖος ἔγραφε τοῖς ἔγγιστα σατράπαις ἐπιστολὴν ρξθ'.
ἄλλην[10] γενέσθαι ἑτοίμους καὶ ἐκεῖσε παραγίγνεσθαι[11]. Ἔγραψε καὶ τοῖς ἔγγιστα βασιλεῦσιν, ὡς μέλλομεν τὸν ἱδρῶτα ἀπομαξάμενοι[12] ἀγωνίσασθαι πρὸς τὸ ἔθνος Μακεδονικόν, οὓς[13] οὐ πιστεύω μάλα χαίρειν ἐφ' οἷς τολμήσαντες ἐποίησαν. Προσέταξε[14] δὲ καὶ τοῖς ἐν Κῷ[15] ἔρχεσθαι καὶ προάγειν. λέγει· "Οὐ πιστεύω ἐν τῷ πάλαι ἀπόδειξιν εἶναι ἔργων."[16] Ἔγραψε καὶ πρότερος Πώρῳ τῷ βασιλεῖ ἐπιστολὴν δεόμενος βοηθεῖσθαι ὑπ' αὐτοῦ.

ταλαιπωρούν u. gr.
om. gr.
nur in A.
om. gr.
om. gr.

12. Δεξάμενος δὲ Πῶρος καὶ ἀναγνοὺς τὰ γεγραμμένα ἀντέγραψεν αὐτῷ ρο'.
ἐπιστολὴν τοιάνδε· "Πῶρος βασιλεὺς Ἰνδῶν βασιλεῖ Περσῶν Δαρείῳ χαίρειν. Ἀναγνοὺς τὰ γεγραμμένα ὑμῶν[17] σφόδρα ἐλυπήθην. καίπερ θέλων συντυχεῖν σοι καὶ βουλεύσασθαι περὶ τῶν συμφερόντων ὑμῖν, κωλύομαι δὲ ὑπὸ συνεχοῦς διαπαντὸς νόσου σώματος. ἀλλ' οὖν εὔθυμος ἴσθι ὡς ἡμῶν πάντων[18] μὴ δυναμένων ὑφίστασθαι τὴν ὕβριν ταύτην[19]. Ἀλλὰ πρὸς ὃ βούλει, γράφον ἡμῖν. σοὶ γὰρ ὑπήκοοι τίθενται αἱ δυνάμεις πᾶσαι, καὶ τὰ ποῤῥωτέρω που ἔθνη ὑπακούσονταί σοι."

Μαθοῦσα δὲ ταῦτα πάντα ἡ μήτηρ Δαρείου διεπέμψατο αὐτῷ ἐπιστολὴν ροα'.
κρυφίως περιέχουσαν οὕτως· "Ῥοδογούνη Δαρείῳ τῷ ἐμῷ τέκνῳ χαίρειν. Ἀκούω σε συναθροίσαντα ἔθνη καὶ βουλόμενον ἕτερον πόλεμον συνάψαι[20] πρὸς Ἀλέξανδρον. Τέκνον, μὴ ταράξῃς τὴν οἰκουμένην, τὸ γὰρ μέλλον ἄδηλόν ἐστιν. ἔασον ἐλπίδα ἔχειν ἐπὶ τὸ κρεῖττον[21], ἵνα μὴ ἀμφιβολίᾳ χρησάμενος τοῦ ζῆν στερηθῇς. ἔτι γὰρ νῦν ἐν τιμῇ ἐσμεν καὶ ἐν μεγίστῳ περισσεύματι, καὶ οὐχ ὡς πολεμίου μήτηρ αἰχμάλωτος διάγουσα. Ὅθεν ἐλπίζω εἰς συνθήκην καλὴν ἐλεύσεσθαί [σε] Ἀλεξάνδρῳ."

Name nur in A u. Bi
μητέρα ἔσχομεν gr.

Ἀναγνοὺς δὲ Δαρεῖος τὰ γράμματα ἐδάκρυσε λάθρα ἀναμιμνησκόμενος ροβ'.
τοῦ ἑαυτοῦ γένους. ἅμα δὲ ἐταράσσετο τῇ ψυχῇ καὶ τὴν τῶν Βακτριανῶν χώραν προτείχισμα[22] ἔσχε τοῦ πολέμου.

nur in A [illegible] in Bi.

---

[1] M: εὕρωμεν. [2] quae usui forent belli commodo [V]. [3] A: Οἰμητάδης Δαρείῳ. [4] A: Αὐτὸς γὰρ τετραυμάτισμαι. [5] A: Κωμάρξης. [6] A: Νανίας. [7] 'die Einkünfte'. [8] A: παρέδωκαν. [9] A: Θριδάτου. [10] l. պիտակս. A: τῷ ἔγγιστα σατράπῃ Πηγγάλῳ. [11] A: παρεμβολὴν θεῖναι. [12] Æ: ἀπομάξασθαι καὶ.. [13] Æ: οἷς. [14] Æ: προσέταξα. [15] Wohl Verlesung. A: τοῖς περὶ Κοβάρζην. [16] Nunc est agendum. [17] M: ἡμῖν ὑπό σου. [18] M: συμπαρόντων. [19] M: στέγειν τὴν ὕβριν ταύτην. Darnach ist bei Æ թշնամանաց zu lesen. [20] w: ἑτέραν παράταξιν [aciem] διδόναι. [21] Æ wohl unter Verkennung der Bedeutung von ἔασον: ἔασον ἐλπίδα ἔχειν διαμένειν. [22] A: προαχῶνα [!]

13.

ρογ′. Ὁ δὲ Ἀλέξανδρος ἔχων τὴν ἑαυτοῦ δύναμιν τὴν πορείαν ἐποιεῖτο εἰς[1] τὴν τῶν Περσῶν χώραν. τὰ γὰρ τῆς πόλεως τείχη τῷ ὕψει αὐτῶν τοῖς Μακεδόσι κατάδηλα ἐγένοντο. Ἐπενόει δέ τι ὁ φρενήρης Ἀλέξανδρος. τὰ γὰρ ἐκεῖ νεμόμενα ποιμνία ἀπέσπασε (καὶ ἀπῆγε) τῶν νομῶν.[2] καὶ ἐκ τῶν δένδρων κλάδους ἀποκόψας ἐπέδησεν ἐπὶ τῶν τετραπόδων[3], καὶ ὄπισθεν τοῦ στρατοπέδου ἐβάδιζε τὰ ποιμνία, καὶ τὰ δένδρα ἐσύρετο ἐπὶ τῆς γῆς καὶ πᾶσαν τὴν κόνιν ἄνω βάλλοντα ἐσάλευε, καὶ ἀνήρχετο ὁ κονιορτὸς om. gr. μέχρι τοῦ ὄρους[4] Ὀλύμπου, ὥστε τοὺς Πέρσας⌈ ὑπονοεῖν τοσοῦτο πλῆθος αὐτῶν τοῦ στρατοπέδου εἶναι, ‖ὑπολαμβάνοντας ἀπὸ τῆς πνοῆς[5] καὶ ἀπὸ τῶν ἀνεμοφορήτων τιναγμῶν τῶν θυελλῶν τὸ ἄμετρον καὶ τὸ ἀναρίθμητον. [illegible] gr. Πόῤῥωθεν γὰρ ὁρῶντες οἱ θεωρήσαντες τὸ ἰλυόεν[6] σκότος, ἐκθύμῳ ἡττηθέντες μαλακίᾳ ἐκφοβοῦντες ἀλλήλους ἐξεχύθησαν[7] ἐκ τοῦ κράτους καὶ ἐκ πάσης δυνάμεως.[8] ‖

ροδ′. Καὶ ἐλθὼν πλησίον τῆς Περσίδος ὡς ἀπὸ ἡμερῶν πέντε ὥδευσεν ἀπών.[9] καὶ ἐζήτει πιστοὺς ἀγγέλους, ἵνα πέμψῃ πρὸς Δαρεῖον μηνύειν αὐτῷ, πότε τὴν συμβολὴν τοῦ πολέμου ποιήσουσι πρὸς ἀλλήλους. Αὐτὸς δὲ κοιμηθεὶς Ἀλέξανδρος εἶδε τὸν Ἄμμωνα ἐν σχήματι Ἑρμοῦ παρεστῶτα αὐτῷ ἔχοντα ἐν τῇ χειρὶ κηρύκιον καὶ χλαμύδα καὶ ῥάβδον καὶ Μακεδονικὸν πιλίον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ λέγοντα αὐτῷ ἐν ὁράματι· “Τέκνον Ἀλέξανδρε, ὅτε χρεία ἔσται[10] σοι βοηθεῖσθαι, τότε συμπάρειμι μηνύειν σοι. om. gr. ὃν γὰρ ἂν πέμψῃς ἄγγελον πρὸς Δαρεῖον, οὗτος προδίδωσί σε καὶ πᾶσαν τὴν ἐπίνοιάν om. gr. σου φανερώσει αὐτῷ. ὥστε οὖν εἰς κίνδυνον θανάτου δὸς σεαυτὸν[11] καὶ om. gr. αὐτὸς γενοῦ ἄγγελος πορευόμενος πρὸς αὐτόν, ἀναλαβὼν τὸ σχῆμα τοῦτο, ὅπερ ἔχειν ὁρᾷς με.⌈ Ἐπικίνδυνον μέν ἐστι βασιλέα ἑαυτῷ ἄγγελον γενέσθαι.⌈ Ἀλλὰ θεοῦ βοηθοῦ τυγχάνοντος οὐδεὶς κίνδυνος ἐπακολουθήσει.” Ἰδὼν ταῦτα χρησμὸν λαβὼν παρὰ τοῦ Ἄμμωνος ὁράματι καὶ θαρσυνθεὶς ἀνδρείᾳ ὁ βασιλεὺς Ἀλέξανδρος ἀνίσταται χαίρων καὶ ἀναφέρει τοὺς λόγους τοῦ ὁράματος πρὸς τοὺς σατράπας. οἱ δὲ συνεβούλευσαν τοῦτο ποιῆσαι[12], = Bi ὃ ἐφάνη αὐτῷ ἐν τῷ ὀνείρῳ.

14.

ροε′.[13] Τότε λαβὼν ὁ βασιλεὺς μεθ᾿ ἑαυτοῦ σατράπην τινὰ γενναῖον τοὔνομα Μελδεῖον[14] καὶ τρεῖς ἵππους εὐσθενεῖς [ὥδευσε]. καὶ μακρὰ ἡ ὁδὸς ἦν. om. gr. καὶ πορευόμενος παραγίνεται εἰς τὸν Στράγκαν ποταμόν. οὗτος δὲ ὁ ποταμὸς ἐπήγνυτο τῇ χιόνι, ὥστε ἐδαφοῦσθαι αὐτὸν καὶ πετρώδη γίνεσθαι καὶ διαπερᾶν ἁμάξας καὶ κτήνη ἐπάνω καὶ πάντας τοὺς βουλομένους διαπερᾶν.

ρος′.[15] Εἶτα μεθ᾿ ἡμέρας ἐξαίφνης λύεται ὁ ποταμὸς οὗτος, καὶ γίνεται βαθύῤῥοον τὸ κῦμα, ὥστε κατασύρειν[16] τοὺς συλληφθέντας τῷ ῥεύματι

---

[1] A: ἔγγιστα τῆς Περσίδος, ὥστε . . γίνεσθαι. V: propius jam Persas adierat, adeo ut . . [2] Verm. ist յարօտականաց zu lesen. [3] M: εἰς τὰ νῶτα αὐτῶν. [4] ὄρους schwerlich urspünglich. A: μέχρι νεφῶν ἔφθασε. [5] Verm. ʼի պարկէ. [6] limosus — wenn die Lesart richtig. [7] Æ unverständlich: ἐκχυθήσονται. [8] Vom Anbinden von Fackeln an die Hörner der Tiere [M] ist, wie bei A und V, auch bei Æ keine Rede. [9] A: ἐπεὶ δὲ ἀπῆλθε τῆς Περσίδος ἡμέρας πέντε. Die Erzählung würde danach einen Rückschritt machen. [10] M: καιρός ἐστι. [11] παραβούλευσαι. [12] M: μὴ ποιῆσαι. [13] Dies Cp. hat die besondere Überschrift: Ὅτε ἦλθεν Ἀλέξανδρος πρὸς Δαρεῖον αὐτὸς ἄγγελος. [14] Die Herausgeber bemerken hierzu: “Die Griechen Εὔμηλος”. [15] Dies Cp. hat die besondere Überschrift: Περὶ τοῦ πλατέος καὶ εὐρυχώρου ποταμοῦ Στράγκου. [16] M: καταφθεῖραι. C: κατασύρειν.

⌈ἀπὸ τῶν τειχέων ὁρῶντας add. gr.

⌈ὁ δὲ Ἀλέξανδρος εἶπεν add. gr. — ⌈ ὁ δὲ εἶπεν αὐτῷ add. gr. — [illegible]

Ἐκαθέζετο δὲ Δαρεῖος (ἐπί τινος ὑψηλοτάτου δίφρου om. B), διάδημα φορῶν ἐκ
λίθων πολυτίμων, ἐσθῆτά τε σηρικὴν Βαβυλωνίοις ὑφάσμασι καὶ χρυσονήμασιν (ὑφασμένην om. B) καὶ πορφύραν βασιλικὴν χρυσᾶ τε ὑποδήματα (χρυσοῖς ὑποδήμασι BC) διὰ λίθων κεκοσμημένα (κειμένων B) μέχρι
τῶν κνημῶν αὐτοῦ· (χρύσεα δὲ λυχνίδια om. B) ἐπάνω αὐτοῦ ἥπτοντο,
ἕτερα δὲ περὶ τοὺς πόδας αὐτοῦ καὶ κύκλῳ αὐτοῦ περιέστραπτον λυχνία·
σκῆπτρα δὲ ἑκατέρωθεν, στίφη δὲ μυριάδων πέριξ αὐτοῦ. Gr.

ὅτι οὖν πάρειμι ἄγγελος αὐτοῦ σοι μηνύω· παρὼν Ἀ. ἐνθάδε ταῦτα λέγει
δι' ἐμοῦ· ὀφείλεις εἰδέναι, βασιλεῦ Δαρεῖε, ὅτι βραδύνων κτλ. A

διαπερῶντας. Καὶ εὗρε παγέντα αὐτὸν Ἀλέξανδρος. καὶ ἀναλαβὼν τὸ σχῆμα, ὅπερ εἶδε δι' ὀνείρου τοῦ Ἄμμωνος, καὶ ἐπιβὰς ἐπὶ ἵππον[1] διεπέρασε μόνος. Τοῦ δὲ Μελδείου παρακαλοῦντος αὐτὸν σὺν αὐτῷ διαπερᾶσαι, μὴ — εἶπεν — ἀνάγκη τις γίνηται βοηθείας, λέγει αὐτῷ Ἀλέξανδρος· "Ὧδε μεῖνον ἐμοὶ μετὰ τῶν δύο πώλων. ἔχω γὰρ — λέγει — βοηθὸν ἐμοὶ τὸν ἐν ὁράματι χρησμοδοτήσαντα ἀναλαβεῖν τὸ σχῆμα τοῦτο καὶ μόνον πορευθῆναι." Ταῦτα εἰπὼν διεπέρασε τὸν ποταμὸν παγέντα, ὃς εἶχε τὸ πλάτος μέτρον σταδίου ἑνὸς καὶ βαθύτατος [ἦν].

= B: ἑνὶ τῶν πώλων ἐ
βας – εἰς τὸν Βουκ
φαλον Gr.

om. Gr.

Καὶ ἀποβὰς ὥδευσε καὶ ἦλθε πρὸς τὰς πύλας Περσίδος. Καὶ οἱ ἐκεῖ φρούραρχοι θεασάμενοι αὐτὸν ἐν τούτῳ τῷ σχήματι ὑπενόουν θεὸν εἶναι αὐτόν.[2] κατασχόντες δὲ ἐπυνθάνοντο, τίς ἐστιν. Ὁ δὲ εἶπε· "Τῷ βασιλεῖ προσαγάγετέ με. αὐτῷ ἐπαγγελῶ." Καὶ ἔξω ἐπὶ λόφῳ ἦν Δαρεῖος. στρατοῖς ἐπέταξε[3] καὶ φάλαγγας συνέταξεν ὡς ἐπὶ ἀδυνάτους τοὺς Μακεδόνας[4] ἐν τῷ πολέμῳ. Τότε ἐπιλυθεὶς[5] διὰ τὰ πολὺ θαυμάσια Δαρείου, παρ' ὀλίγον προσεκύνησεν αὐτὸν θεὸν[6] νομίσας ἐξ οὐρανοῦ κατελθόντα καὶ[7] βαρβάρων στολαῖς κεκοσμημένον. ἦν γὰρ καθαρὸς [καὶ] κόσμιος ὁ τύπος τοῦ προσώπου, καὶ ἐν μέσῳ οἱ χρόνοι παρεληλυθότες.[8] διάδημα ἐφόρει τὴν κεφαλὴν σκεπασθεὶς[9], τὴν δὲ ἐσθῆτα, οἵαν οὔποτε ἄλλος τις ἐφόρει[10], Βαβυλωνίῳ ὑφάσματι [καὶ] χρυσονήματι πεπλεγμένην. καὶ ὑποδήματα ὀδοντοφόρα[11][?] καὶ σκῆπτρον ἐν τῇ ἀριστερᾷ χειρί[12]. καὶ τῶν ποδῶν ἀμφοτέρων κόθορνοι[13] πρὸς ἀλλήλους καλῶς ἡρμοσμένοι [ἦσαν] καὶ ἀλλήλων ἁπτόμενοι[14] ἐν ἐργασίᾳ πορείας. Καὶ πανόπλων στίφη ἑκατέρωθεν κατὰ μυριάδας περιβαλλόμενα ἐφύλασσε τὸν Δαρεῖον. Καὶ οἱ φύλακες παρέστησαν αὐτῷ τὸν Ἀλέξανδρον.

ροζ'.

Καὶ θεωρήσας τὸ σχῆμα, ὃ εἶχεν, ὃ μηδέποτε ἄλλου τινὸς ἑωράκει[15] ἢ ἐμεμαθήκει, ἐπυνθάνετο αὐτοῦ ὁ Δαρεῖος· "Τίς εἶ;" Ὁ δὲ λέγει· "Ἄγγελός εἰμι τοῦ βασιλέως Ἀλεξάνδρου." "Καὶ τί πρὸς ἐμὲ ἀπαγγέλλειν ἦλθες;" Ὁ δέ λέγει· "Ἐγώ σοι μηνύσω, ὅτι ἐλήλυθεν Ἀλέξανδρος[16]. γίνωσκε οὖν, βασιλεῦ Δαρεῖε, ὅτι ὁ βραδύνων εἰς μάχην ἤδη πρόδηλος ἐγένετο τῷ ἀντιδίκῳ ἄνανδρον[17] καὶ ἀσθενῆ ἔχειν τὴν ψυχὴν εἰς τὸ πολεμεῖν. ὥστε οὖν μὴ ἀμέλει[18], ἀλλ' ἀνάγγειλόν μοι, πότε βούλει, ἵνα συνάψωμεν πρὸς ἀλλήλους τὸν πόλεμον." Ὁ δὲ Δαρεῖος ὀργισθεὶς εἶπε· "Μήτι σὺ εἶ Ἀλέξανδρος; οὕτω γὰρ μετὰ θράσους λαλεῖς, οὐχ ὡς ἄγγελος, ἀλλ' ὡς αὐτὸς ὁ Ἀλέξανδρος τυγχάνων. ἀλλὰ τὸ σύνηθες δεῖπνον ἄξιόν

ροη'.

om. Gr.

μηνύω ὡς παρόντος Ἀλεξάνδρου, πότε τὸν πόλεμον συνάπτεις B

= BCL

= A

ἀλλ' οὐ μεταράξεις κτλ. A

---

[1] M: καθίσας εἰς τὸν Βουκέφαλον ἵππον. Unrichtig. Vgl. ρπς'. [2] So auch M — doch schwerlich ursprünglich. Vielmehr wird sich an φρούραρχοι unmittelbar κατασχόντες angeschlossen haben. [3] M: στρατοὺς ὀρύσσων. [4] M: διὰ τὴν τῶν M. ἐπέλευσιν. C: ὡς ἡρώων ὄντων τῶν M. V: de ignavia Macedonum. [5] Oder etwa: ἐπαρθείς. A: ἀθροίσας τὸ πολὺ θαῦμα. [6] A: ὡς θεὸν Μίθραν. [7] Die Herausgg. haben hier irrtümlich ἦν Δαρεῖος eingefügt. [8] Er hatte die Mitte des Lebens überschritten. [9] Das hier folgende εἶδε wird m. E. am besten eliminiert. [10] w: οἵαν οὔποτε ἄλλου τινός. [11] Falls **սեպաստանոն** σεπάστανον nicht ein Lehnwort, sondern eine armen. Wortcomposition darstellt, etwa: ὀδοντοῦχος im Sinne von ὀδοῦσι κεκοσμημένος. M: χρύσεα — διὰ λίθων κεκοσμημένα. [12] M: σκῆπτρα δὲ ἑκατέρωθεν. [13] Oder 'Absätze'? κνῆμαι passt offenbar nicht. [14] St. **բուլթն** wird **բուռն** zu lesen sein. [15] l. **տեսեալ էր**. [16] Besser A: μηνύω· παρὼν Ἀλέξ. ἐνθάδε ταῦτα λέγει δι' ἐμοῦ. [17] Nach Var. **կնատ** st. **նկատ**. [18] A: μὴ μένε.

ἐστι ποιεῖν, διότι καὶ αὐτὸς ὁ Ἀλέξανδρος τοῖς ἐμοῖς γραμματοφόροις ἐποίησε δεῖπνον. καὶ σὺ συνδειπνήσεις μοι[1]."

ροθ΄. Οὕτως εἶπεν ὁ βασιλεὺς καὶ περιλαβὼν τὴν χεῖρα Ἀλεξάνδρου εἰσήνεγκεν ἔνδον εἰς τὸ βασίλειον. Καὶ τοῦτο σημεῖον ἑαυτῷ ἔσχεν ὁ Μακεδὼν ἤδη χειροῦσθαι καὶ κρατεῖν τοῦ βιαίου τυράννου τῶν δεσποτῶν. καὶ ἔνδον εἰσῆλθεν εἰς τὰ μέλαθρα σὺν Δαρείῳ καὶ εὐθέως ἐπὶ τὸ δεῖπνον προὐκλήθη.[2] Καὶ πρῶτος ἐπὶ τῆς κλίνης ἀνακεκλιμένος ἦν Δαρεῖος[3]. δεύτερος Ὀξυδάρκης[4] ὁ ἀδελφὸς τοῦ βασιλέως. τρίτος Ὦχος ὁ σατράπης Ὀξυδάρκης[5]. εἶτα Αὐδουλίτης ὁ ἐπὶ Σούσων,[6] καὶ Φαυάρτης[7] καὶ μετ' αὐτὸν Μιθραδάτης[8]. ἐκεῖ ἀνεκλίθη καὶ Τιριδάτης.[9] ἔπειτα Κανδαύλης ὁ Αἰθιόπων βασιλεὺς καὶ Παυλιάδρης ἄναξ[10]. ἐν οἷς ἦν καὶ Ἀρνίφατος[11] καὶ Διώσιος[12], Καρδερωκέτης[13] καὶ Ἀλκίδης[14]. καὶ καταντικρὺς αὐτοῖς μόνος ἀνέκειτο ἐπὶ κλίνης μιᾶς Ἀλέξανδρος ὁ Μακεδών.[15] || Καὶ οἱ Πέρσαι ἀτενῶς ἀνέβλεψαν εἰς Ἀλέξανδρον θαυμάσαντες διὰ τὴν τοῦ σώματος μικρότητα. ἀλλ' ἠγνόουν, ὅτι ἐν μικρῷ ἀγγείῳ καλὴ μῖξις τύχης[16] ἐστὶν ἐν τῷ οὐρανῷ πρότερον κατασκευασθεῖσα. Οἱ δὲ πινεγχύται πυκνότερον σκύφοις ἐνεγκόντες παρεῖχον. 15.

d. Namen nur in A u. B i / fehlen zu Anfang an / mehreren.

ρπ΄. Εἶτα ἐπεὶ ἐν μέσῳ τοῦ συμποσίου ἦσαν, Ἀλέξανδρος ἐπίνοιαν τοιαύτην ἐπενόησεν. ὅσους γὰρ ἐλάμβανε σκύφους, ἔνδον ἐν τῷ κόλπῳ ἐτίθει. Οἱ δὲ πινεγχύται τοῦτο ἰδόντες ἐδήλωσαν Δαρείῳ. Ὁ δὲ βασιλεὺς ἀπὸ τῆς κλισίας ἀναστὰς εἶπεν· "Ὦ γενναῖε, πρὸς τί ταῦτα ἐγκολπίζεις κατακείμενος;" Νοήσας δὲ Ἀλέξανδρος ἀπὸ τοῦ σχήματος τὴν τῆς βαρβάρου ψυχῆς μωρίαν εἶπεν· "Μέγιστε βασιλεῦ, οὕτως Ἀλέξανδρος, ὅτε δεῖπνον ἐποίει τοῖς ταξιάρχαις καὶ στρατηγοῖς αὐτοῦ, τὰ κύπελλα πάντα ἐδωρεῖτο αὐτοῖς. ὑπενόουν δὲ καὶ σὲ τοιοῦτον εἶναι, ὁποῖος ἐκεῖνός ἐστι, καὶ ἡγησάμην Δαρεῖον ὡς Ἀλέξανδρον." Καὶ πιθανότητι λόγων Ἀλεξάνδρου ἐξεπλάγησαν πάντες οἱ Πέρσαι. πλαστὸς[17] γὰρ ἀεὶ μῦθος ἐὰν πίστιν ἔχῃ, ἔκστασιν[18] ποιήσει ἐν τοῖς ἀκούουσι. Καὶ πολλῆς σιγῆς γενομένης Ἀλέξανδρον[19] ἀνεμνήσθη καὶ κατενόησε εἷς αὐτῶν[20]

= A, B i

= A, mit Lücke

ἐκστᾶναι πεποίηκεν A

ρπα΄. Παρασάγγης[21] τις ὁ γενόμενος ἡγεμὼν ἐν τῇ Περσίδι. οὗτος γὰρ ᾔδει κατὰ πρόσωπον τὸν Ἀλέξανδρον, ἡνίκα τὸ πρῶτον ἦλθεν εἰς Πέλλην τῆς Μακεδονίας ὑπὸ Δαρείου πεμφθεὶς τοὺς φόρους ἀπαιτεῖν, καὶ εἶπε πρὸς ἑαυτόν· "Οὐκ ἔστιν οὗτος ὁ ἐκ Πέλλης, ὃν ἔλεγον Ἀλέξανδρον; ἀλλὰ νῦν σαφῶς χρή με τοὺς τύπους ἐπιγνῶναι." Καὶ ἀναβλέψας ἐκ δευτέρου καὶ

fehlt in A u. B i

---

[1] So setze ich nach M. Æ scheint dagegen σπουδάσεις gelesen zu haben, denn er giebt: καὶ σὺ σὺν ἐμοὶ τὴν σὴν ποιήσεις σπουδήν. [2] A: ἐκηρύχθη. [3] A: πρῶτος ἀνακλιντὴρ ἦν Δαρείου. [4] A: Ὀξυάθρης. [5] A: τρίτος ὁ σατράπης Ὀξυδράκης. [6] A: εἶτα πάλιν Δουρίτης ὁ ἐκπισσύσης. [7] A: Φαλάρτης. Übrigens konnten ւ und լ leicht vertauscht werden. [8] A: Μιθριάδης ἕκτος κατεκλίθη. [9] A: Γεριδάνης τοξοτῶν πρῶτος. [10] A: Κανδ. ὁ νυκτίχωρος ἔκειτο, Μένωπος ἐπανέκειτο Αἰθιόπων ἄναξ πολυάρης. [11] A: Ὀρνίφατος. [12] A: Ὁδιώνης. [13] A: Καρτερόφωτος. [14] A: Συναρίτης, Δελεάκλιδες. [15] A: Πάντα ἄριστος Μακεδ. [16] St. բախտեալ wird entweder բախտի [τύχης] oder etwa բաղդատեալ [συγκεκριμένος] zu lesen sein. [17] Æ giebt irrig πλάτος und hat überhaupt den ganzen Satz falsch aufgefasst. [18] l. Հիացումն. [19] Vor dem Namen ist bei Æ das Zeichen des Acc. einzufügen. [20] So nach V: unus ex convivantibus. Æ: ἐκ πάντων αὐτῶν ohne εἷς. [21] A: Ἀσαργὰς und Παρασαργᾶς. V: Pasarges.

ὁ δὲ Ἀλ. ἔσχεν ἐν καρδίᾳ τὸ σημεῖον· ἤδη κρατήσεις τὸν τύραννον νικῶν. A, B ähnlich.

καὶ ἡγησάμην πιθανότητι τοῦτο ποιεῖν." τῷ λόγῳ οὖν Ἀλεξάνδρου οἱ Πέρσαι ἐκπλαγέντες ἐθαύμαζον, πλαστὸς γὰρ κτλ.

Ἀσαράς und Παρασαργάς A, Παράγωγος B, Παράγης C, Παραγάγης L, Παρασάπης B i

A: Ὡς δὲ ἐνοήθη ἐγνωσμένον ἑαυτὸν Ἀλ. καὶ πολὺν θρόνον περὶ τὸ βασιλικὸν δεῖπνον κτλ.
BCL: ὁ οὖν Ἀλ. ἀκούσας τὸν λόγον τὸν ῥηθέντα περὶ αὐτοῦ τῷ Δαρείῳ ἐπὶ τοῦ δείπνου
συννοήσας γνωστὸν ἑαυτὸν γενέσθαι πλανήσας πάντας ἥλατο κτλ.

ὁ δὲ Ἀλ. ὑπὸ τοῦ θεοῦ βοηθούμενος ὤξυνε τὸν ἵππον πτερνίσας καὶ προέβαλλεν τὴν
πεύκην καὶ ἐφωταγώγει τὸν πῶλον διευθύνων αὐτῷ τὴν ὁδόν A.

BC ὥσπερ ἀστὴρ λαμπρὸς ἐξ οὐρανοῦ ἀνύων τὴν ὁδὸν μόνος ἔχων φῶς ἄπειρον ἔμπροσθεν
L — — — —— φαιδρὸς ἀνιὼν μόνος

διασωθεὶς νυκτὶ φεύγων ἦλθεν Gr. – ὁ δεύσας τὴν Περσικὴν χώραν
εἰσῆλθεν ἐπλησίασε Bi.

κατανοήσας εἶπεν· “Οὗτος ἐκεῖνός ἐστιν ἀληθῶς — οὐκ ἔστι πλάνη — ὁ ἀπὸ Φιλίππου[1], ἡ γὰρ φωνὴ αὐτὸν ἤλεγξεν. καὶ γὰρ τῶν τύπων ἀγνώστων γεγενημένων πολλοὶ ἄνθρωποι τῇ φωνῇ γιγνώσκονται, κἂν ἐκτός που[2] περιπατήσωσιν.” Οὕτω Παρασάγγης κατανοήσας περὶ Ἀλεξάνδρου προσανακλιθεὶς τῷ Δαρείῳ εἶπε· “Μέγιστε βασιλεῦ Δαρεῖε καὶ ἰσχυρὲ δυνάστα τῆς Περσίδος[3] χώρας, οὗτος ὁ πρεσβευτής, ὃς ἦλθε πρὸς σέ, αὐτός ἐστιν Ἀλέξανδρος ὁ Μακεδών, ὁ Φιλίππου ἀπόγονος, ἀνὴρ γενναῖος[4].”

Ταῦτα δὲ ἀκούσας Ἀλέξανδρος καὶ κατανοήσας, ὅτι ἐγνώρισαν αὐτὸν οἱ ρπβ'.
Πέρσαι, καὶ τὸν πότον[5] καὶ τὸν θροῦν τὸν περὶ τὸ βασιλικὸν δεῖπνον
γενόμενον[6], φοβηθεὶς καὶ τὰ μέλλοντα δοκιμάζων, συμμίξας[7] αὐτοὺς καὶ om. A
πλανήσας ἀπεπήδησεν ἔξω φέρων τοὺς χρυσοῦς σκύφους ἐν τῷ κόλπῳ. καὶ
ἐπιβὰς εἰς τὸν πῶλον, ἵνα φύγῃ τὸν κίνδυνον, εἶδε πρὸς ταῖς πύλαις φύλακα om. Gr.
φυλάσσοντα δᾷδα ἐν τῇ χειρὶ ἔχοντα. ταύτην ἁρπάσας ἀφεῖλεν αὐτὸν καὶ
τὸν ἄνδρα ἀπέκτεινεν. εὐθέως ἐπιβὰς ἐπὶ τὸν πῶλον ἀπῆλθεν ἀπὸ τῆς
Περσίδος χώρας. Οἱ δὲ Πέρσαι ἰδόντες τὴν φυγὴν αὐτοῦ ἐξῆλθον ἔνοπλοι ὁ δὲ Δαρεῖος ἐπιγνοὺς
καταλαβεῖν βουλόμενοι τὸν φυγόντα. Ὁ δὲ Ἀλέξανδρος ἐπέτεινε καὶ ἐξέπεμψε Πέρσας Gr.
προϋπορεύετο εὐθύνων τῇ πεύκῃ τὸν πῶλον καὶ δεικνὺς τὴν ὁδόν. ἦν γὰρ
νὺξ βαθεῖα [καὶ] σκότος κατ' Ὄλυμπον[8]. Οἱ δὲ βάρβαροι, οἳ αὐτὸν κατεδίωκον, οὐ κατέλαβον. Ὁ δὲ εἶχεν ἐν τῇ χειρὶ ὁδηγοῦσαν τὴν πεύκην.
οἱ δὲ ὑπὸ τοῦ σκότους ὧδε καὶ ἐκεῖσε ἔπιπτον. ὥσπερ γὰρ ἀστὴρ λαμπρὸς
πρὸς οὐρανοῦ ἐξελθὼν εἰς τὰ ὑψηλὰ διαπεράσας εἱστήκει. Οἱ[9] δὲ ἔσω
όντες οὐ συνάπτουσι πρὸς αὐτούς[?][10]. αὐτὸς δὲ πάντας εἰς τὸν βυθὸν om. Gr.
σώζει[?].[11] Οὕτως Ἀλέξανδρος πάντας τοὺς Πέρσας κατερρέμβευσεν.

Δαρεῖος δὲ συνεφοράζετο.[12] ἐπὶ τοῦ θρόνου[13] ἐκαθέζετο. καὶ ἐθεάσατο ρπγ'.
ἐξαίφνης σημεῖόν τι ἀληθές. ἡ εἰκὼν Ξέρξου ἡ πρὸς τὸν ὄροφον ἀνεῳγμένη[14] ἐξέπεσεν, ἣν ἠγάπα Δαρεῖος. om. Gr. – [illegible] Bi κεήγνον

Ὁ δὲ Μακεδὼν ἐπορεύθη κατὰ τὴν Περσίδα χώραν καὶ ἀφίκετο πρὸς ρπδ'.
τὸν Στράγκαν ποταμόν. καὶ ἅμα τῷ διαπερᾶσαι τὸν ποταμόν, παρὰ τὴν
ὄχθην τοῦ πώλου τοὺς ἐμπροσθίους πόδας ἐν τῇ γῇ ἔχοντος, τὸ ὕδωρ
διελύθη ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος καὶ ὁ πῶλος[15] ἐφέρετο ὑπὸ τοῦ
κράτους τῶν ὑδάτων. ὁ δὲ Ἀλέξανδρος εἰς τὴν γῆν ἐπὶ τὸ ξηρὸν ἐξεπήδησε.
καὶ αὐτὸν εἰς κόλπον παρέλαβεν ἡ γῆ, τὸν δὲ ἵππον ἁρπάσας ἤνεγκεν ὁ om. Gr.
Στράγκας. Οἱ δὲ Πέρσαι πρὸς αὐτὸν τὸν ποταμὸν πρὸς μάχην ἐλθόντες om. Gr.
καὶ ἰδόντες, ὅτι ἤδη διεπέρασεν Ἀλέξανδρος, οὐκ ἠδυνήθησαν ἐκεῖ διώκειν, ἀλλ' ἀπέβησαν ἀπὸ τῶν τόπων. ὁ γὰρ ποταμὸς ἀπέραστος ἦν πᾶσιν ἀνθρώποις. Οἱ δὲ τοῦ Δαρείου ἀπήγγειλαν τὸ εὐτύχημα Ἀλεξάνδρου. Ὁ

---

[1] Ich lese 'ի mit Abl. statt des von Φίλιππος gebildeten Adjectivs. [2] So nach 4 Hdss. թող ուրեք. Nach M: ἐν σκότει wäre etwa 'ի մթոյ zu lesen. [3] M: πάσης χώρας. [4] M: ἀριστεύων. [5] A: πολὺν θροῦν. [6] w: λαλούμενον. [7] l. Partic. [8] M: κατέλαβεν. Doch C: κατ' Ὀλύμπου. [9] Anmerkung bei Æ: “Statt des folgenden Absatzes [bis Schluss des Cp.] hat der griech. Text die Worte: καὶ οὐδεὶς ἐσώθη τῶν διωκόντων Περσῶν.” Diese Worte finden sich in keinem der publizierten Texte. [10] Mir unverständlich, auch bei anderer Fassung von բախին. [11] Etwa զահավիժէ καταкρημνίζει? [12] Æ giebt wohl nur eine unrichtige Deutung dieses Wortes: ἑώρα ὑποψίας ἑαυτῷ. [13] M: κλιντῆρος. [14] V: fatiscente compactu. [15] Nach der Hds. von Sis wird mit dem Pferd auch Alex. stromabwärts getrieben [V].

πρὸς ὄρθρον

ἐπὶ τῷ γεγονότι Bi. δὲ Δαρεῖος καταπληττόμενος τῇ παραδόξῳ συμβάσει[1] ἐν ἀπορίᾳ ἐλυπήθη.
= L, C, Bi ᾿Αλέξανδρος δὲ μικρόν τι πεζῇ πορευθεὶς εὗρε τὸν Μελδεῖον, ὃν κατέλιπεν
ἐκεῖ μετὰ τῶν δύο πώλων, καὶ ἀφηγήσατο αὐτῷ πάντα τὰ γεγονότα.

ρπε'. * Εἶτα ἐκέλευσε τὰς φάλαγγας τῶν ῾Ελλήνων ἐξ ὀνόματος[2] καθοπλισθῆναι 16.
καὶ ἑτοίμους ἔρχεσθαι πρὸς αὐτόν. ὁ δὲ ἐν μέσῳ αὐτῶν εἱστήκει, ὡς Ζεὺς
om. B. = A. ἐν τῷ οὐρανῷ.[3] καὶ πάντα τὰ στρατόπεδα συναθροίσας τῶν Μακεδόνων εὗρε
τὸν ἀριθμὸν μυριάδας δώδεκα. βραχὺς μὲν ἦν ὁ ἀριθμός, ἀλλὰ ⌈φρόνησις
μεγάλη καὶ ὑπερβάλλουσα τὸ πλῆθος. Καὶ ᾿Αλέξανδρος παρῄνεσε τὰ
στρατόπεδα καὶ εἰς μάχην ἐθάρσυνε λέγων· "῎Ανδρες συστρατιῶταί μου
om. in Bi καὶ φίλοι, οἶδα ὅτι τὸ πλῆθος ἡμῶν μικρόν ἐστιν. ⌈ἀλλὰ μηδεὶς λογίσηται
ἀσθενεστέραν τὴν προθυμίαν[4]. εἷς γάρ τις ἐξ ὑμῶν χεῖρα[5] γυμνώσας τῶν
ἀντιμάχων χιλίους ἀναιρήσει. ᾿Αλλ᾽ οἶδα τὸ πλῆθος τῶν Περσῶν, οἳ
om. gr. τοσοῦτον ἀμαθίᾳ καὶ ἀπειρίᾳ ὑπερβάλλουσιν ἡμᾶς. πολλαὶ γὰρ μυριάδες
μυιῶν εἰσιν ἐν τοῖς λειμῶσιν, αἳ πληροῦσι[6] τῷ πλήθει καὶ θλίβουσιν
ἀλλήλας ἡμέρᾳ θερινῇ. ὅταν δὲ ἐμπέσωσι ταύταις σφῆκες καὶ κυνόμυιαι, om. gr.
σοβοῦσιν[7] αὐτὰς τῷ τῶν πτερύγων ἤχῳ.[8] Οὕτω τὸ πλῆθος τῶν μυιῶν τούτων, om. gr.
Περσῶν, οὐδέν ἐστι πρὸς τὴν ὀλιγότητα τῶν σφηκῶν, τῶν Μακεδονικῶν ἡμᾶς gr.
στρατοπέδων." Οὕτως ⌊ εἰπόντος τοῦ βασιλέως, πάντες ἐπῄνεσαν[9] αὐτόν.

ρπϛ'. Καὶ ὁδεύσαντες διὰ πολλῶν ὁδῶν καὶ διὰ ἄκρων[10] ἦλθον ἐπὶ τὰ νῶτα
τοῦ Στράγκου ποταμοῦ [καὶ] παρεμβολὴν ἐποίησαν. ῾Ο δὲ Δαρεῖος ἀναλαβὼν
τὸ πλῆθος αὐτοῦ ἔρχεται ἐπὶ τὸ ἕτερον μέρος τοῦ Στράγκου ποταμοῦ.
εὑρίσκει αὐτὸν προσφάτως παγέντα. ἐπέρασε πρῶτος αὐτὸς ἐπέρχεσθαι
᾿Αλεξάνδρῳ. Κήρυκες δὲ ἐν μέσῳ ἑστῶτες ἐκήρυξαν καὶ ἐκάλεσαν εἰς
μάχην τοὺς ἀριστέας. Καὶ πάντων τῶν στρατοπέδων καθωπλισμένων ἐφ᾽
ἅρμα Δαρεῖος ἁλάμενος ὥρμησε σὺν ἅρμασι δρεπανηφόροις[11] καὶ τοῖς *
ὀνομαστοῖς[12] ἀνδράσιν εἰς τοὺς ἐχθροὺς ἀπειλῶν. καὶ πολλοὶ σατράπαι
ἐφ᾽ ἁρμάτων ἐκαθέζοντο, ἄλλοι δὲ ἔφερον ὅπλα πολλὰ πανουργικὰ κακοῦργα.
Τῶν δὲ Μακεδόνων προηγεῖτο ὁ βασιλεὺς ᾿Αλέξανδρος ἐπιβὰς τὸν Βουκέφαλον
ἵππον. οὐδεὶς δὲ ἠδύνατο τούτῳ προσεγγίσαι.

ρπζ'.[13] ῾Ως δὲ ἑκατέρων μερῶν ἔκλαγξεν ἡ πολεμικὴ σάλπιγξ, πολὺν ἦχον
ἀλλήλους τύπτοντες [καὶ] ψόφον συχνὸν καὶ κρότον δεινὸν ἐποίουν, καὶ τὸ
βρύχημα καὶ ἡ κραυγὴ τῶν τῶν στρατοπέδων νεφέων βροντὴν εἰργάζετο.
καὶ μεγάλῃ προθυμίᾳ ταξάμενοι ἦλθον πρὸς τὸ ἔργον τοῦ πολέμου. Καὶ
ἤρξαντο οἱ μὲν λίθους βάλλειν, οἱ δὲ τοξεύματα ἔπεμπον μέχρι τοῦ
οὐρανοῦ, ὥστε ἐπικαλύπτειν καὶ ἐπισκιάζειν τὴν λευκὴν ποιότητα τοῦ
ἡμερινοῦ φέγγους. καὶ ἄλλα ἡμισφαγῆ σώματα ἔκειτο ἐπὶ τῆς γῆς βεβαμμένα
εἰς αἷμα καὶ κοινῶς μεμολυσμένα. Καὶ ἐν τῷ μέρει τῶν Περσῶν
πολλοὶ ἀνῃρέθησαν τελευτήσαντες τῷ ξίφει.

---

[1] casus, eventus, fortuna. M: σημείῳ. [2] Fehlt in A, aber vorhanden in CL. [3] A: ὁποῖος Ζεὺς τοὺς οὐρανίους δαίμονας διακρίνων. [4] w: προθυμίαν ὁρμῆς. [5] So BL. M: ἡμῶν σπάθην. [6] Ich lese աղխաղխեն [sc. τοὺς λειμῶνας]. Zu խաղ խաղան παίζουσι, woran man auch denken könnte, passt nicht recht τῷ πλήθει. [7] διώκουσι. [8] oder βολῇ. [9] M: ηὐφήμησαν. [10] ἀκροτόμων, τραχέων. A: πολλὰς οὖν χερσοὺς καὶ στομοὺς διευθύνας. [11] l. գերան-դաբեր [st. —բար] und stelle das Wort um. [12] Verm. անուանւոց oder —նեաց st. անուոց. V: optimates. [13] Weicht mehrfach von den übrigen Berichten ab.

cf. Bi fehlt in BCL

* A: Ἀναλαβὼν δὲ ἑαυτὸν καὶ ἕωθεν συναθροίσας τὸν στρατὸν αὐτὸς ἐν μέσῳ - - -
B: Εἶτα ἦλθεν εἰς τὴν παρεμβολὴν τῶν στρατευμάτων. καὶ εὐθέως ἐκέλευσε τὰς
φάλαγγας τῶν Ἑλλήνων ἐξ ὀνόματος καθοπλισθῆναι καὶ ἑτοίμους (ἑτοίμως)
εἶναι εἰς τὸ παραστῆναι Δαρείῳ. αὐτὸς δὲ ἐν μέσῳ κτλ.
ΓΑ: ὅτι φρονήσεις ἦν, ἀνεθάρσυνε. Ἀνελθὼν οὖν ἐπί τινος ~~φ~~ ὑψηλοῦ τόπου ἐθάρσυνε
τὴν στρατιὰν λέγων.
Al. gr.: ἀλλὰ φρόνησις μεγάλη παρ᾽ ἡμῖν καὶ θράσος καὶ δύναμις ὑπὲρ τοὺς Πέρσας κτλ.

Σφηκῶν γὰρ ὄντων οὐδέν εἰσιν αἱ μυῖαι all. gr.
⌊ εἰπὼν ἐθάρσυνε τὰ στρατεύματα αὐτοῦ καὶ ἠνδραγάθουν καὶ ηὐφήμουν τὸν Ἀλ. gr.

περάσας διώδευσε καὶ διήρχετο διὰ μέσης τῆς ἐρήμου βουλόμενος πρῶτος
ὑπεισελθεῖν τοῖς στρατεύμασιν Ἀλεξάνδρου, ὅπως εὑρίσκωσιν αὐτοὺς ἀπαρασκευ-
άστους καὶ τούτους τροπώσωνται. ABL
* καὶ οἱ σατράπαι αὐτοῦ ἐπὶ δρεπανηφόρων ἁρμάτων ἐκαθέζοντο gr.

Ὡς δὲ ἑκάτερον μέρος ἠλάλαξε (ἔκραξε L, ἔκλαγξεν C) πολεμικὸν μέλος, οἱ μὲν
λίθους ἔβαλλον, οἱ δὲ τόξα ἔπεμπον ὡς ἀπὸ οὐρανοῦ ὄμβρον φερόμενα (φερόμε-
νον L) [οἱ δὲ ζιβύνας (ξίφη C) ἔβαλλον all. LC], ἕτεροι δὲ βολίδας (μολίβδας L)
ἐσφενδόνιζον ὥστε ἐπικαλύπτειν τὸ τῆς ἡμέρας φέγγος. πολλὴ δὲ σύγχυσις ἦν τυπ-
τόντων καὶ τυπτομένων· πολλοὶ μὲν τοῖς βέλεσι τρωθέντες ἀπέθνησκον, ἄλλοι δὲ
ἡμισφαγεῖς ἔκειντο· γνοφερὸς δὲ ἦν ὁ ἀὴρ καὶ αἱματώδης. πολλῶν δὲ Περσῶν
ὀλεθρίως τελευτησάντων ὁ Δαρεῖος φοβηθεὶς ἀπέστρεψε - - - ABCL

A: τοῦ ἰδίου ἅρματος· καὶ πᾶν τὸ πλῆθος τῶν Περσῶν εἰς φυγὴν ὥρμα. Δρεπανηφόρων δὲ
πολλῶν ἁρμάτων τρομα(χι?)ζόντων οἱ πεζοὶ ἐθερίζοντο ὥσπερ σῖτος ὑπὸ ἀρότρῳ.

BCL: τὰς ἡνίας τῶν ἁρμάτων τῶν δρεπανηφόρων καὶ τροχιζόντων τοὺς ἑαυτοῦ ὄχλους
καὶ θεριζόντων· αὐτὸς γὰρ ἐθέριζε τοὺς πολλοὺς ὄχλους τῶν Περσῶν ὡς ἐπ᾽ ἀρού-
ρας στάχυς ἀγρόται κείροντες.

B: ἄπληστος χρυσίου γενόμενος καὶ τῆς ἄλλης εὐδαιμονίας τῆς ὑπαρχούσης ἡμῖν ἐκ πατέρων.
ἀπέθανεν (C; ἀπεθέμην B) οὖν τὸ πολὺ χρυσίον καὶ τὸ ἀργύριον καὶ πολλὰς σκηνὰς ἀπο-
λέσας ὑπὲρ Κροῖσον τὸν Λυδίον πλουτήσας καὶ τὸν ἐνεστῶτα θάνατον οὐκ ἐξέφυγε.
Τοίνυν, Ἀλέξανδρε, σὺ κατανοήσας τὴν τύχην καὶ τὴν νέμεσιν τὸ μέγα φρονεῖν εἰς οὐδὲν
λελόγισαι (C; κατανοήσω τύχει καὶ νεμέσει τὸ μ. φρ. ὑπεστήσω B, ähnl. L). οἴκτειρον
οὖν ἡμᾶς κτλ.

A: ἄπληστος ὢν χρυσοῦ καὶ πραγμάτων. τί γὰρ αὐτὸν ἦν τῶν ἄλλων λεῖπον, χρυσὸς ἢ λίθος
ἢ ἀγάλματα, ἅπερ καὶ αὐτὸς παρ᾽ ἡμῖν οἶδας. ἀλλά γε σκοπήσας τὴν τύχην, οἴκτειρον ----

---

Ὁ δὲ Δαρεῖος ἀναχωρήσας ἔστρεψε τὴν ἡνίαν τοῦ ἅρματος καὶ ἐκ τοῦ ρπη΄.
πλήθους ἀπέφυγεν ἐκ πάσης τῆς μάχης. καὶ τὰ δρέπανα τρεχόντων τῶν
ἁρμάτων ἐθέριζε τοὺς πυκνοὺς Πέρσας, ὡς ἐπ᾽ ἀρούρας τοὺς στάχυς ἀγρόται
θερίζουσι. Καὶ ὁ Δαρεῖος ἦλθε πρὸς τὸν Στράγκαν ποταμόν, αὐτὸς καὶ
οἱ σὺν αὐτῷ, καὶ διεπέρασαν εὑρόντες τὸν ποταμὸν παγέντα, ἄγοντες τὰ om. Gr.
ἅρματα εὐθεία. τοῦ δὲ ἄλλου πλήθους στρατοπέδων βουληθέντος τὸν πο-
ταμὸν διαπερᾶσαι κάτωθεν διελύθη ὁ κρύσταλλος καὶ ὁ κλύδων ἁρπάσας
κατέλαβε πάντας τοὺς μήπω διαπεράσαντας. Οἱ δὲ μὴ εὐκαιρήσαντες
διαπερᾶν ὑπὸ τῶν Μακεδόνων ἀνηλεῶς ἀνηρέθησαν.

Ὁ δὲ Δαρεῖος φυγὰς γενόμενος ἔπεσεν εἰς τὸ παλάτιον αὐτοῦ καὶ ῥίψας ρπθ΄.
ἑαυτὸν εἰς τὸ ἔδαφος δακρύων στεναγμοῖς ἐστέναξεν ἀποπνιγεὶς [καὶ] πυ- om. Gr.
ρωθεὶς ἐν καρδίᾳ, ἀπολέσας τοσοῦτο πλῆθος στρατευμάτων καὶ ἐρημώσας
τὴν ὅλην Περσίδα χώραν. Καὶ τοιούτοις πάθεσιν ἀπορίας[1] κατεχόμενος
Δαρεῖος ἑαυτὸν ἐθρήνει λέγων· “Ὢ ἄφυκτον καὶ ἐπικίνδυνον καὶ οἰκτρὸν
ἀπορίας[2], ὅτι τηλικοῦτος βασιλέων βασιλεὺς Δαρεῖος, ὁ τοσαῦτα ἔθνη om. Gr.
ὑποτάξας καὶ πλείστας πόλεις καταδουλωσάμενος, ὁ θεῶν σύνθρονος γενό-
μενος καὶ τῷ ἡλίῳ συνανατείλας, νῦν φυγὰς ἐγενόμην ἔρημος. Ἀληθές[3]
ἐστιν, ὃ εἶπεν ἡ μήτηρ μου[4], ὅτι τὸ μέλλον οὐδεὶς ἀσφαλῶς οἶδεν. ἡ γὰρ
τύχη βραχεῖαν ῥοπὴν ἐὰν λάβῃ, τὸν ταπεινὸν ὑπεράνω τῶν νεφελῶν ἀνα-
βιβάζει ὑψώσασα, τοὺς δὲ ἐν ὕψει ὄντας εἰς ζόφον κατάγει.” Καὶ ἔκειτο
πικρῶς Δαρεῖος ἔρημος ἀνθρώπων ὁ τοσούτων ὄχλων δεσπότης γενόμενος.

17. Ὀλίγον οὖν ἀναπνεύσας καὶ διαναστὰς καὶ εἰς ἑαυτὸν ἐλθὼν καὶ δια- ρϙ΄.
νήψας ἐκ τοῦ πολλοῦ στεναγμοῦ καὶ ἐκ τῆς χαλεπῆς οἰμωγῆς καὶ ἐκ τῶν
ἀνιαρῶν δακρύων, ἐπείρασε στηρίζεσθαι [καὶ] ἑστάναι ἐπὶ τῆς φρονήσεως, om. Gr.
ὀπίσω ἀπελάσας τὴν περιφορὰν[5] τῶν κυμαινουσῶν ὀδυνῶν. Συντάξας
ἐπιστολὴν ἔγραψε πρὸς Ἀλέξανδρον καὶ ἔπεμψε πρὸς αὐτὸν ἐμπαθεῖς
δεήσεις βάλλειν παρ᾽ αὐτῷ, περιέχουσαν οὕτως· “Δαρεῖος βασιλεῖ Ἀλε-
ξάνδρῳ τῷ ἐμῷ δεσπότῃ χαίρειν. Πρῶτον γίνωσκε,[6] ὅτι ἄνθρωπος ἐγένου. = A, fehlt in BCL
ἱκανὸν [τοῦτό ἐστιν] εἰς ἀνάμνησιν, ἵνα μὴ μεγαλοφρονήσῃς, ἀλλὰ τὰς
ἀνθρωπίνας τάξεις ἐνθυμηθῇς. Καὶ γὰρ καὶ Ξέρξης ὁ τὸ φῶς μοι δείξας
περισσότερον ἐμοῦ αὐτοῦ φρονήσας (καὶ ἐπαρθεὶς) καὶ καταφρονήσας πάντων
τῶν ἀνθρώπων μέγαν ἔρωτα ἔσχεν εἰς τὴν Ἑλλάδα στρατεύσασθαι. μάλα
γὰρ ἐπιμελὴς[7] ἦν, ἀλλὰ χρυσίου καὶ τῆς ἄλλης (καλοκἀγαθίας καὶ) εὐδαι-
μονίας τῆς ὑπαρχούσης ἡμῖν ἐκ πατέρων. ἦλθεν[8] ἀπολέσας τὸ πολὺ
χρυσίον, τὸ πολὺ ἀργύριον καὶ πολλὰς σκηνάς. Ἃ καὶ σὺ κατανοήσας
μέγα φρονεῖν (καὶ ἐννοεῖν) αἰδούμενος οἴκτειρον ἡμᾶς πρὸς σὲ καταφυ-
γόντας [καὶ] προσπεσόντας σοι ἱκέτας. Πρὸς Διὸς[9] καὶ τῆς ἄλλης ἡμῖν
ὑπαρχούσης[10] εὐγενείας[11] ἀπὸ Περσίδος, ἀπόδος τὴν μητέρα καὶ τὴν om. ABC, vorhanden in L B
γυναῖκα καὶ τὰ τέκνα, καὶ ἀντὶ τούτων ὑπισχνοῦμαι δεῖξαί[12] σοι τοὺς = A Bi
θησαυροὺς τοὺς ἐν τῇ Μινυάδι[13] χώρᾳ καὶ ἐν Σούσοις καὶ ἐν Βάκτροις, οὓς

---

[1] M: συμφοραῖς. [2] Ganz abweichend A: Ποῖος ἀστὴρ οὐράνιος ἔβαλε τὴν Περσικὴν βασιλείαν. [3] Æ: ἀληθῶς. [4] Sonst nicht vorhanden. — Der Ausspruch ροα΄. [5] τὸ κλυδωνίζεσθαι. [6] l. քեզ und ändere die Interpunction. [7] M: ἄπληστος [Հացքուլեփ]. [8] M: ἀπέθανεν. [9] Von Æ zum Vorhergeh. gezogen. Viell. war vom Übersetzer auch Διὸς ἱκεσίου [A] beabsichtigt. [10] l. որ է st. է որ. [11] Æ: ἐλευθερίας. [12] A. M: διδόναι. [13] So nach A. Æ: ἐν Μίνᾳ [-ῃ].

οἱ πατέρες ἡμῶν ἔθεντο ἐν τῇ γῇ. Καὶ εὔχομαί σοι τῶν Περσῶν καὶ
= A, Bi Μήδων κυριεύειν πάντα τὸν χρόνον. Ὁ δὲ Ζεύς σε ποιείτω μέγαν. ἔρρωσο."
ρϙα'. Καὶ ταύτης τῆς ἐπιστολῆς ἀναγνωσθείσης ὑπ' Ἀλεξάνδρου ἐκέλευσε[1]
συναθροίζεσθαι τοὺς στρατηγοὺς τοὺς σὺν αὐτῷ ὄντας καὶ ἀναγνωσθῆναι
τὴν ἐπιστολήν. Εἶπεν εἷς τῶν στρατηγῶν Παρμενίων τοὔνομα, ὃς
ἠκολούθει αὐτῷ· "Ἀλέξανδρε, ἰδοὺ ἔλαβον ἂν τὰ χρήματα καὶ τὰς χώρας,
ἃς δίδωσι[2], καὶ ἔδωκα ἂν ἐνταῦθα ἀντὶ τούτων τὴν μητέρα καὶ τὴν γυναῖκα
καὶ τὰ τέκνα." Πρὸς τοῦτον δ' εἶπεν Ἀλέξανδρος· "Καὶ ἐγὼ μέν, εἴπερ
Παρμενίων ἦν, ἐλάμβανον ἄν.[3]" Καὶ ἐκέλευσε τοὺς γραμματοφόρους ἀπαγγεῖλαι
Δαρείῳ· "Ἐγὼ ἐθαύμασα — λέγει — πρὸς τί Δαρεῖος ἀξιοῖ διὰ
χρημάτων[4] λυτρώσασθαι τοὺς ἰδίους, πολὺ δὲ μᾶλλον, ὅτι καὶ τὴν χώραν
+ τὴν ἐμὴν ὑπισχνεῖται διδόναι μοι. ἀλλὰ φανερός ἐστιν ἀγνοῶν, ὅτι, ἐὰν
⌈μετὰ τῶν ἰδίων αὐτοῦ add. BCL νικήσῃ με μάχῃ, αὐτοῦ ἐστι ταῦτα⌈ ἐὰν οὖν ἡττηθεὶς εὑρεθῇ μοι, μὴ
ὑπισχνείσθω τὰ ἐμά. ἐὰν γὰρ νικήσῃ μάχῃ, οὐχ ἕνεκα τῆς μητρὸς αὐτοῦ
καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων λόγοι αὐτῷ εἰσι πρὸς ἡμᾶς, ἀλλ' ἡμῖν
πρὸς αὐτὸν ἕνεκα τῶν ἡμετέρων τόπων.[5] Ἀλλὰ τὸ σύνολον εἰς τὴν Ἀσίαν
οὐκ ἂν ἦλθον, εἰ μὴ ὑπελάμβανον ἐμὴν εἶναι τὴν χώραν. ἄτοπον γάρ
om. Gr. ἐστιν ἀλλοτρίοις ἐπιχειρεῖν.[6] εἰ δὲ πρότερον ταύτης τῆς χώρας ἦρχε, τοῦτο
ἐν κέρδει ποιείσθω[7], διότι τὴν ἄλλου χώραν ἔχων τοσοῦτον χρόνον οὐδὲν
ἔπαθε." Ταῦτα ἐκέλευσε Δαρείῳ ἀπαγγεῖλαι τοὺς πρέσβεις, γράμματα δὲ
om. AC, habet BLBi οὐκ ἔγραψεν.[8]

ρϙβ'. Αὐτὸς δὲ ὁ βασιλεὺς ἐκέλευσε τοὺς ἐν τῷ στρατεύματι τραυματισθέντας
θεραπεύειν καὶ πείθειν τὸν θυμόν[9], τοὺς δὲ τελευτήσαντας εἰς τὸν προσήκοντα
τόπον κηδείας ἔρχεσθαι. Καὶ μείνας ἐκεῖ αὐτὸν τὸν χειμῶνα[10]
καὶ ποιήσας τὰς τεταγμένας θυσίας τοῖς ἐγχωρίοις θεοῖς, προσέταξεν ἐμπυρίζεσθαι
τὰ Ξέρξου βασίλεια ὄντα κάλλιστα κατὰ τὴν χώραν ἐκείνην.
Μετὰ μικρὸν δὲ πάλιν μετενόησε καὶ παύσασθαι ἐκέλευσεν αὐτούς. || Ἐθεάσατο 18.
⌈τῶν Περσῶν add. Gr. καὶ τοὺς τάφους⌈ ὑφασμένους[11] χρυσῷ πολλῷ⌈ καὶ τοὺς χρυσοῦς κρατῆρας,
ὥστε ὡς ἡρώων εἶναι τὴν θέαν.[12] καὶ παρακείμενος πλησίον ὁ Κύρου
τάφος [ἦν]. ἦν δὲ πύργος αἴθριος δεκάστεγος[13], ἐν δὲ τῇ ἄνω στέγῃ
ἔκειτο [αὐτὸς][14] ἐν χρυσῇ πυέλῃ, [[15] καὶ ὕαλος περιεκέχυτο αὐτῷ, ἐν ᾧ
ἐφαίνοντο καὶ αἱ τρίχες αὐτοῦ καὶ αὐτὸς ὅλος. Ἐνταῦθα εἰς τὸν τάφον
Ξέρξου πεσόντες ἦσαν Ἕλληνες, οἱ μὲν συντετριμμένοι τοὺς πόδας, οἱ δὲ
τὰς ῥῖνας, ἕτεροι δὲ τὰ ὦτα. Ἀθηναῖοί τινες δεδεμένοι πόδας[16] ἐξεβόησαν
Ἀλεξάνδρῳ, ἵνα σώσῃ αὐτούς. Ὁ δὲ ἰδὼν τὰ πάθη αὐτῶν ἐδάκρυσε καὶ
ᾤκτειρεν αὐτούς. προσέταξε λῦσαι καὶ δοῦναι αὐτοῖς δίδραχμα χίλια καὶ
ἀποκαταστῆσαι ἕκαστον εἰς τὴν ἰδίαν πατρίδα. Οἱ δὲ λαβόντες τὸ ἀργύριον
παρακαλοῦσιν αὐτὸν ἀπομερίζειν χώραν αὐτοῖς ἐν τοῖς τόποις ἐκείνοις
καὶ μὴ συντετριμμένους αὐτοὺς πέμπειν εἰς τὰς πατρίδας εἰς οἰκτιρμὸν[17]

---

[1] sc. Ἀλέξανδρος. [2] l. տայ. [3] So ist m. E. zu lesen statt: καὶ ἐγὼ νῦν, ὦ Παρμένιον, ἔλαβον. Die Stelle ist offenbar aus Arrian Anab. II 25 geflossen.
cf. Bi [4] M: διὰ τῶν ἐμῶν χρ. [5] Anders bei M. [6] manum admovere. [7] M: κερδαινέτω. [8] So auch M. Dagegen V: in hanc sententiam dictatas litteras ferri ad Darium jubet. [9] 'besänftigen, zufriedenstellen'. M: πάσῃ σπουδῇ.
und Bi [10] A: τὸν ἀκμαιότατον χειμῶνα. [11] M: κεκοσμημένους. [12] M ausführlicher. [13] M: δωδεκάστεγος. [14] Aus M ergänzt. [15] Der eingeklammerte Abschnitt fehlte in allen armen. Hdss. und wurde von den Herausgebern aus dem Griechischen ergänzt. [16] M: πέδαις. [17] M: ὄνειδος εἶναι.

⌈[illegible] κοιμηθεὶς μετ' αὐτῶν, om. BCL Bi [illegible], [illegible] A [illegible].
[illegible] Gr.: ἐγὼ μέν, Παρμένιε, πάντα λαμβάνω παρ' αὐτοῦ, ἐθαύμασα δὲ ....

+ πλὴν αἰσχρόν ἐστιν ἡμᾶς τοὺς ἄνδρας νικήσαντας ὑπὸ γυναικῶν ἡττηθῆναι. ἡμεῖς οὖν
πρὸς ἐκεῖνον τὴν μάχην ὀτρύνομεν περὶ τῶν ἡμετέρων· ἐγὼ γὰρ τὸ σύνολον .... Gr.

⌈[illegible] εἶδε καὶ τὸν Ναβονασάρου τάφον τοῦ κεκλημένου Ναβουχοδονόσωρ Ἑλλαδικῇ φωνῇ =
καὶ τὰ ἀναθήματα τῶν Ἰουδαίων ἐκεῖ κείμενα add. L B C A

Gr.: ἐπὶ τῇ γενομένῃ καταστροφῇ τοῦ οἴκου μου ἐν ταῖς ἡμέραις ταύταις καὶ νῦν δηλῶσαι
ἐπειδὴ ἐπιβάς μοι - - -.

Gr.: ἐν πολλῇ σπουδῇ ἄθροισον πλῆθος καὶ ἀπόστειλον ἡμῖν. ἔρρωσο.

× A: ἤκουσε δὲ Δαρεῖον εἶναι ἐν Ἐκβατάνοις· ἠκούετο δὲ βασιλεύειν τὴν Ἀσίαν
Ἀλ., εἰ μὴ κατεφρόνησε τοῦ Δαρείου ὀνόματος· προσαγγέλλει δὲ αὐτῷ ὅτι
εἴη πεφευγὼς ἐπὶ τὰς Κασπίας πύλας· σύντομον δὲ ἐποίει τὸν διωγμόν.
ἀκούσας παρά τινων ὅτι πλησίον εἴη ὁ βασιλεὺς τοῦ εὐνούχου αὐτομολή-
σαντος, πάντα πρὸς ἀλήθειαν, εὐτολμότερον τὸν διωγμὸν ἐποιεῖτο.

BCLβ ähnl.

τοῖς οἰκείοις αὐτῶν]. Ἀκούσας δὲ αὐτοὺς Ἀλέξανδρος ἐκέλευσε καταμετρεῖσθαι τόπους καὶ ἀπομερισθῆναι αὐτοῖς, καὶ σῖτον εἰς σπέρμα δοθῆναι καὶ βόας ἑκάστῳ ἓξ καὶ τὰ ἄλλα, ὅσα χρήσιμα ἦν πρὸς γεωργίαν καὶ ἕτερα χρήματα δοθῆναι πάλιν.

19. Ὁ δὲ Δαρεῖος πάλιν ἐκάλεσε[1] πρὸς ἕτερον πόλεμον, συμβαλεῖν Ἀλεξάν- ρϙγ΄.
δρῳ. καὶ γράφει ἐπιστολὴν Πώρῳ[2] βασιλεῖ τῶν Ἰνδῶν βοηθεῖν περιέχουσαν
οὕτως· “Βασιλέων βασιλεὺς Δαρεῖος Πώρῳ βασιλεῖ χαίρειν. Ἔγραψά σοι om. Gr. [Ινδῶν add. Gr.
συμπαθεῖν ἡμῖν ἐπὶ τῇ γενομένῃ καταστροφῇ τοῦ οἴκου μου. ὁ γὰρ ἐπι-
βὰς τὴν ἀγρίου θηρὸς ψυχὴν ἔχων οὐ βούλεται τὴν μητέρα καὶ τὴν
γυναῖκα καὶ τὰ τέκνα μοι ἀποδοῦναι. ἐγὼ δὲ ἐπηγγειλάμην αὐτῷ τοὺς
θησαυροὺς καὶ πλείονα ἄλλα χρήματα. οἷς[3] ἵνα βούληται ἀμέμπτως χρῆσθαι om. Gr.
χρήμασιν, οὐ πείθεται. Ὅθεν βουλόμενος ἐκπορθῆσαι τὴν χώραν[4], ἐφ᾽
οἷς ἔπραξε, ποιῶ[5] πρὸς αὐτὸν ἕτερον πόλεμον καὶ τοῦτον μέγιστον, μέχρις
ἂν[6] ἀμύνωμαι τὸ ἔθνος[7] ἢ καὶ ἐγὼ μηκέτι ἐν τῇ γῇ γένωμαι. εἰς τοσαύτας om. Gr.
θανάτου πύλας ἤγαγέ με. Δίκαιον οὖν ἐστί σε ἀγανακτῆσαι, ἐφ᾽ οἷς ἔπαθον,
καὶ ἐκδίκησιν ποιεῖν τῆς ὕβρεως[8], μνησθέντα τῆς τῶν προγόνων ἡμῶν
φιλίας τε καὶ δικαίων. Συνάθροισον[9] οὖν πλεῖστα ἔθνη[10] εἰς τὰς Κα-
σπιασκὰς πύλας, εἰς χώραν ἀκαταγώνιστον καὶ χαλεπήν, καὶ τοῖς ἐκεῖσε om. Gr.
ἐρχομένοις βοηθήσω[11] δοὺς κατὰ μῆνα[12] ἀνδρὶ ἰσχυρῷ[13] χρυσία τρία, = A
ἱππεῖ δὲ χρυσία πέντε, καὶ σῖτον καὶ χορτάσματα. Πάντων δέ σοι πέμψω
τὸ ἥμισυ τῶν λαφύρων, ὧν ἂν λάβω ἐκ[14] τῶν πολεμίων. καὶ χαρίσομαί
σοι καὶ τὸν λεγόμενον Βουκέφαλον ἵππον σὺν τοῖς βασιλικοῖς χωρίοις[15]
καὶ τὰς ἐν Σούσοις[16] παλλακὰς ἑκατὸν ὀγδοήκοντα μετὰ τοῦ ἰδίου κόσμου. = A ρη Α
Δεξάμενος οὖν τὰ γράμματα μὴ ἄλλο τι ποιεῖν[17], ἀλλὰ ἐντέλλειν τοῖς
περικειμένοις ἔθνεσιν ἔρχεσθαι, εἰς ὃν τόπον ὡρίσαμεν πάντας συναθροι-
σθῆναι.”

Ὁ δὲ Ἀλέξανδρος μαθὼν ὑπό τινος τῶν τοῦ Δαρείου καταπεφευγότων ρϙδ΄.
(ἀποπεπτωκότων) πρὸς αὐτὸν τὰ μέλλοντα καὶ λαβὼν Ἀλέξανδρος τὰ
στρατεύματα τὴν πορείαν ἐποιεῖτο εἰς τὴν Μηδίαν χώραν. Ἤκουσε δὲ
× Δαρεῖον ἐν Ἐκβατάνοις εἶναι. ἀλλ᾽ οὐχ ᾤετο[18] βασιλεύειν Ἀλέξανδρος τῆς
Ἀσίας, εἰ μὴ κατεφρόνησε τοῦ ὀνόματος Δαρείου. Ἀπηγγέλθη δὲ αὐτῷ,
ὅτι πεφευγὼς εἴη ἐπὶ τὰς Κασπιακὰς πύλας πλησίον τῇ Θαλίδι[19] χώρᾳ
εἰς Γιλάνην χωρίον. καὶ μετὰ σπουδῆς ἐποίει τὸν διωγμόν. Καὶ ἤκουσε
παρά τινος, ὅτι πλησίον εἴη. καὶ Γιστάνου[20] τοῦ εὐνούχου αὐτοῦ πεφευ-
γότος καὶ πρὸς αὐτὸν ἀποπεπτωκότος[21], ὃς ἀπήγγειλεν αὐτῷ πάντα κατ᾽
ἀλήθειαν, εὐτολμότερον καὶ μετὰ θάρσους ἐδίωκεν αὐτόν.

---

[1] M: ηὐτρεπίζετο. [2] Պաւրոս, und σπε΄. Պովրոս. [3] Ich möchte lesen: որով զի . . վարել իրօք. [4] M: αὐτόν. [5] l. առնեմ. [6] արդ ist m. E. zu tilgen. [7] M: αὐτὸν καὶ τὸ ἔθνος αὐτοῦ. [8] Da im Gr. ὕβρις vorhanden, so wird Թշնամեաց, wie öfter, verschrieben sein st. Թշնամանաց. [9] Ich lese den Ip. st. d. Partic. [10] A fügt hinzu: καὶ γίνου. [11] w wohl: χειραγωγήσω. M: χορηγήσω. [12] l. ամսոյ ամսոյ. [13] ἀδρῷ. A: εὐώνῳ [i. e. πεζῷ]. [14] St. զ erw. man ի. [15] χώμαις. [16] A: τὰς ἐνούσας τούτοις παλλ. [17] Wohl imperativisch. [18] A irrig: ἠκούετο. [19] w: Thalisch. Beide Namen fehlen sonst. [20] An der Stelle des Namens bei A: ὁ βασιλεύς. [21] A: αὐτομολήσαντες — was Æ wohl durch die beiden Ausdrücke umschrieben hat.

Τρίτην[12] πάλιν πρὸς ταύτην ἔπεμψεν ἐπιστολὴν Ἀλέξανδρος περιέχουσαν σκϛ. οὕτως· “Βασιλεὺς Ἀλέξανδρος βασιλίσσῃ Κανδάκῃ τῇ ἐν Μερόῃ καὶ τοῖς ὑπὸ σὲ (αὐτὴν Gr.) βασιλεῦσι χαίρειν. Παρεγενόμην εἰς τὴν Αἴγυπτον, ἤκουσα ἐκεῖ παρὰ τῶν ἱερέων ἰδὼν τοὺς τάφους ὑμῶν καὶ οἰκητήρια δηλοῦντα[13], ὅτι χρόνον τινὰ ἐκυριεύσατε Αἰγύπτου. καὶ Ἄμμων μεθ᾽ ὑμῶν ἐστράτευσε. μετὰ δὲ ὀλίγον χρόνον χρησμὸς ἐγένετο παρὰ Ἄμμωνος, καὶ ἐπανήλθετε (ἀνελύσατε Gr.) εἰς τὴν γῆν ὑμῶν. Διὸ ἔπεμψα πρὸς ὑμᾶς, ἵνα τὸν ναὸν[14] καὶ τὸ ξόανον Ἄμμωνος φέρητε ἐπὶ τὰ ὅρια, ἵνα θύσωμεν αὐτῷ. εἰ [δὲ μὴ][15] βούλεσθε καὶ ὑμεῖς ἔρχεσθαι σὺν αὐτῷ, ἵνα ὁμοῦ ὦμεν διὰ τάχους ἐν Μερόῃ καὶ ὁμοῦ βουλευσώμεθα. πέμψατε ἡμῖν, ὃ ἂν ὑμῖν[16] φαίνηται καλόν.”Γ (ἔνθα ἐμφαίνηται Gr.) (Γἔρρωσθε al.)

Ἀντέγραψεν αὐτῷ καὶ ἡ βασίλισσα Κανδάκη ἐπιστολὴν περιέχουσαν σκζ΄. οὕτως· “Βασίλισσα Κανδάκη Μερόης καὶ οἱ ὑπ᾽ αὐτὴν βασιλεῖς Ἀλεξάνδρῳ χαίρειν. Τότε χρησμοὶ ἦλθον παρὰ Ἄμμωνος στρατεύειν εἰς Αἴγυπτον.

---

[1] Näher läge: ἔπεμψα δέ. — Das Folgende über die gebrachten Merkwürdigkeiten finde ich nur beim Syrer. [2] Vermutl. ist zu lesen: եթէ ինչ օտար ստանան այնոցիկ st. օտարք ախտանան յաղագս այնոցիկ. [3] So gebe ich nach dem Syrer. Æ: ὁμοίως καὶ παρδάλεων. [4] Nach Var. սաղոմորեաց [— im Griechischen freilich als Fischname dem ersten Bestandteile nach nicht nachzuweisen.] Die Recepta οὐζομύρινοι ist viell. eine vox hibrida, deren erster Teil auf յոյզ σάλος zurückzuführen. [5] Gewicht. [6] Von Æ m. E. irrtümlich für ein Subst. gehalten. [7] Über den Bau hat Einiges nur V. [8] w: λιθοδ. στέγη [στέγη = οἶκος]. [9] A nur: ἀνδρός — wenig passend. V: forte tunc viro vidua. ? [10] Nach V. [11] Steht bei Æ irrig vor Σεμιράμ. [12] Inwiefern? [13] l. բնակութիւնս որ յայտնէին. [14] Wie gemeint? [15] Nach A. [16] Æ irrig: ἡμῖν.

νῦν δέ μοι[1], μήτε κινεῖσθαι ὑπ' ἐμοῦ αὐτῆς, μήτε ἄλλον τινὰ[2] βαίνειν
ἐπ' ἐμέ[3], τοὺς δὲ ἐπιβαίνοντας ἐφ' ἡμᾶς ἀμύνασθαι καὶ χρῆσθαι ὡς
πολεμίοις. Μὴ καταγνῷς δὲ τοῦ χρώματος ἡμῶν. ἐσμὲν γὰρ τοῖς τῆς
Γλυκύτεροι add. Ep. ψυχῆς ἤθεσι⌈λαμπρότεροι τῶν παρ' ὑμῖν λευκοτάτων. Ὑπάρχομεν δὲ πλῆθος
ἐξ ἀπείρων χρόνων. σκυτάλαι[4] ὀγδοήκοντα ἕτοιμοί ἐσμεν τοὺς ἐπιόντας
om. ἐφ' ἡμᾶς κακοποιεῖν. Ὀρθῶς δὲ ποιήσεις τὸν Ἄμμωνα θεὸν τιμῶν τὸν
om. μέγαν. Κομίζουσι δέ σοι οἱ ὑφ' ἡμῶν [σταλέντες] πρέσβεις πλίνθους
ὁλοσφυρήτους [ἑκατὸν][5] καὶ Αἰθιόπων ἀνήβους πεντακοσίους,⌈σφίγγας δια-
κοσίας. καὶ τῷ Ἄμμωνι τῷ ἡμετέρῳ θεῷ τῷ ἐπὶ τῶν ὁρίων τῆς Αἰγύπτου
⌈ἐσφραγισμένους στέφανον τρητὸν σμαράγδινον καὶ μαργαρίταις κεκοσμημένον,⌈ὁρμαθοὺς
ι' πεντήκοντα[6]. καὶ ἀτρήτων μαργαριτῶν καὶ ἀτρήτων σμαράγδων ἑτέρους
om. στατῆρας δέκα. καὶ γλωσσόκομα καὶ κιβώτια ἐλεφάντινα ὀγδοήκοντα. πέ-
πεμπται δὲ καί τινα θηρίων γένη ὑφ' ἡμῶν, ἐλέφαντες τριακόσιοι πεντή-
τη' A, 350 Jv. κοντα ἕξ[7], παρδάλεις τριακόσιοι, ῥινοκέρωτες τρισκαίδεκα, πάνθηρες
τ' A, λ' L τέσσαρες, ἐν γαλεάγραις κύνες ἀνθρωποφάγοι ἐνενήκοντα[8], ταῦροι μάχιμοι
τριακόσιοι. ὀδόντες ἐλεφάντων ἐνενήκοντα. δοραὶ παρδάλεων τριακόσιαι.
,αφ' A, ,βφ' B, γ' L ῥάβδοι μέλαιναι ἐβέννιναι ἑπτακισχίλιαι πεντακόσιαι[9]. Πέμψον οὖν, εἰ
βούλει, οἳ παραλήψονται ταῦτα εὐθέως καὶ γράψον ἡμῖν⌊, ὅτι πάσης τῆς
|ἔσεωσο. οἰκουμένης κεκυρίευκας."| ⌊τὰ περὶ σοῦ add. BCL, om. A 19.

σκη'. Δεξάμενος ταῦτα Ἀλέξανδρος καὶ ἀναγνοὺς ἔπεμψε Κλεομένην[10] Αἰγύπτου
ἐπιμελητὴν ταῦτα παραλαβεῖν. Ὁ δὲ[11] ὥδευσε πρὸς τὴν βασίλισσαν. Ἡ
δὲ Κανδάκη ἀκούσασα περὶ Ἀλεξάνδρου, πῶς ταῖς πόλεσι τῶν βαρβάρων
om. BCL, habet A ἐπιβαίνει καὶ χειροῦται τηλικούτους βασιλέας, ἕνα τῶν ἑαυτῆς ἐφώνησε
πρὸς ἑαυτὴν Ἕλληνα ζωγράφον καὶ ἐκέλευσεν αὐτὸν πορευθῆναι ὡς εἰς
ἀπάντησιν αὐτοῦ καὶ ἀγνωστὶ ζωγραφῆσαι τὸν Ἀλέξανδρον|καὶ ἐπανέρχεσθαι
καὶ ἐποίησεν οὕτως Ep. add. καὶ διδόναι τῇ βασιλίσσῃ Κανδάκῃ. Ἡ δὲ λαβοῦσα ἔθετο ἐν ἀποκρύφῳ τόπῳ.

σκθ'. Ἐγένετο δὲ τοιοῦτό τι. υἱὸς Κανδάκης, ᾧ ὄνομα ἦν Κανδαύλης, μετὰ
= A ὀλίγων ἱππέων κατατρέχει εἰς τὴν σκηνὴν Ἀλεξάνδρου. Οἱ δὲ ἐκεῖ φύλακες
συνέλαβον αὐτὸν καὶ παρέστησαν τῷ Σωτῆρι Πτολεμαίῳ ἔχοντι τὰ δεύτερα
Ep. Ἀλλ' ὁ βασιλεύς τῆς βασιλείας. ἐκοιμᾶτο γὰρ ὁ κοσμοκράτωρ. Ἠρώτησεν αὐτὸν Πτολε- πῶς ἀκούει, τίς τυγχάνει καὶ τίνες οἱ σὺν αὐτῷ ὄντες Ep.
μαῖος· "Τίς εἶ;" Ὁ δὲ εἶπεν· "Υἱὸς Κανδάκης τῆς βασιλίσσης." "Καὶ
ὧδε ἐλήλυθας Ep. τί ποιεῖς ὧδε;" Ὁ δ' εἶπε· "Μετὰ τῆς γυναικός μου καὶ ὀλίγης στρατιᾶς
ἠρχόμην τὸ ἐνιαύσιον μυστήριον τῆς τελετῆς τελέσαι παρὰ τὰς Ἀμα-
ζόνας. Ὁ δὲ τῶν Βεβρύκων βασιλεὺς ἰδὼν τὴν γυναῖκά μου ἐξελθὼν μετὰ
πλείονος Ep. πολλῆς δυνάμεως ἥρπασεν αὐτὴν καὶ τοὺς πλείστους στρατιώτας ἀνεῖλεν.
Ὑποστρέφω οὖν, ὅπως πλείονα δύναμιν λαβὼν κατασκάψω τὴν Βεβρυκίαν."
Ἀκούσας δὲ ταῦτα Πτολεμαῖος ἀνέστη καὶ εἰσέρχεται πρὸς Ἀλέξανδρον,
καὶ διυπνίσας αὐτὸν διηγήσατο αὐτῷ, ἅπερ ἤκουσεν.

σλ'. Ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς ἠγείρετο, καὶ ἄρας τὸ ἑαυτοῦ διάδημα
ἔστεψε τὸν Πτολεμαῖον καὶ τὴν χλαμύδα περιέβαλεν αὐτῷ καὶ εἶπεν αὐτῷ·
καθέζου Ep. ""Ἔξελθε ὡς Ἀλέξανδρος τυγχάνων καὶ εἰπέ⌊· "Ἀντίγονόν μοι τὸν ὑπα- ⌊τῷ εὐεργετν δαρείῳ add. BCL, om. A.
σπιστὴν φωνήσατε." καὶ ὅταν ἔλθω, διήγησαί μοι. καὶ εἰπὼν ταῦτα [λέγε]·
προκαθέζεται Ep. "συμβουλευσόμεθα περὶ τούτων, δός[12] μοι συμβουλίαν."" Ἐξῆλθε Πτολε-

---

[1] sc. χρησμὸς ἦλθε [κελεύων] . . [2] Æ: ἄλλῳ τινὶ . . [3] Anders A. [4] Von Æ das griech. Wort beibehalten. [5] Nach A. [6] A: ι', was viell. ν' heissen soll. [7] A: τη' st. τνς'. [8] A: τ'. [9] A: ,αφ'. [10] Æ: Κλεόμην. [11] A: αὐτὸς δὲ . . [12] Æ: δότε.

Γ τῷ βασιλικῷ σχήματι ἠμφιεσμένος αλλ. gr.

gr.: Καὶ τοῦ Πτολεμαίου κελεύσαντος Ἀντιγόνῳ ὡς ἐκείνου Ἀλεξάνδρου τυγχάνοντος τοῦτο γέγονε.
ἔφθασεν δὲ ἐπὶ τὸν τόπον Ἀντίγονος τοῦ τυράννου παρὰ μίαν ἡμέραν σὺν τῷ Πτολεμαίῳ
καὶ εἶπεν Ἀντίγονος τῷ Πτολεμαίῳ·

Γ μετέδωκεν οὖν Ἀλ. τῷ Πτολεμαίῳ ἵνα αὐτὸν πέμψῃ σὺν αὐτῷ ὡς ἄγγελον αὐτοῦ αλλ. gr.

μαῖος. ὃν θεασάμενα τὰ στρατεύματα ὑπενόουν τι καὶ ἔλεγον· “Τί οὖν
ἐνθυμεῖται ὁ φρόνιμος Ἀλέξανδρος;” Ὁ δὲ υἱὸς τῆς Κανδάκης ἰδὼν om.
αὐτὸν ἐν τῇ βασιλικῇ ἐσθῆτι ἐφοβήθη, μὴ κελεύσῃ αὐτὸν ἀναιρεθῆναι.
ὑπώπτευε γὰρ Ἀλέξανδρον εἶναι.

Καὶ εἶπεν ὁ Πτολεμαῖος· “Ἀντίγονόν μοί τις καλεσάτω τὸν ὑπασπιστήν σλα΄.
μου.” Ἐξῆλθεν Ἀλέξανδρος, ᾧ εἶπε Πτολεμαῖος· “Ἀντίγονε, οὗτός ἐστιν ? ἐλθόντος
ὁ υἱὸς Κανδάκης τῆς βασιλίσσης, καὶ ἡρπάσθη ἡ γυνὴ αὐτοῦ ὑπὸ τοῦ
βασιλέως τῶν Βεβρύκων. τί συμβουλεύεις μοι ποιῆσαι;” Ὁ δὲ εἶπε·
“Δέσποτά μου Ἀλέξανδρε, συμβουλεύω σοι καθοπλισθῆναι τὴν στρατιὰν om.
πολεμῆσαι τοῖς Βέβρυξιν, ἵνα λυτρωσώμεθα[1] αὐτοῦ τὴν γυναῖκα καὶ παραδῶμεν
αὐτῷ εἰς τιμὴν τῆς μητρὸς αὐτοῦ.” Ὁ δὲ Κανδαύλης ἔχαιρε ταῦτα
ἀκούων. Εἶπεν ὁ Πτολεμαῖος· “Εἰ τοῦτο βούλει, Ἀντίγονε, τοῦτο καὶ
ποίησον. κέλευσον οὖν ὡς ὑπασπιστής μου ἑτοιμάζεσθαι τὴν στρατιάν.” ‖
20. Οἱ δὲ ἡτοιμάσθησαν κελευσθέντες ὑπὸ Πτολεμαίου ὡς ὑπὸ Ἀλεξάνδρου.

Παρεγένοντο εἰς τὸν τόπον μετὰ μίαν ἡμέραν. Εἶπεν Ἀλέξανδρος σλβ΄.
Ἀντίγονος· “Μὴ ὀφθῶμεν τοῖς Βέβρυξιν ἡμέρας, μήπως μαθὼν ὁ βασιλεὺς
πρὸ τῆς μάχης ἀναιρήσῃ τὴν γυναῖκα τούτου. ποῖον ἔσται τοῦτο ἡμῖν
κλέος νίκης Κανδαύλου ἀπολέσαντος τὴν γυναῖκα αὐτοῦ; ἀλλὰ νυκτὸς εἰσβάλλωμεν
εἰς τὴν πόλιν καὶ ἀνάψωμεν τὰς οἰκίας, καὶ αὐτοὶ οἱ ὄχλοι
τὴν γυναῖκα ἡμῖν παραδώσουσιν. οὐ γάρ ἐστιν ἡμῖν ἡ μάχη περὶ βασιλείας, νίκη gr.
ἀλλὰ ἕνεκα ἀπαιτήσεως γυναικός.” Καὶ οὕτως εἰπόντος τοῦ Ἀντιγόνου
προσέπεσεν αὐτῷ ὁ Κανδαύλης καὶ εἶπεν· “Ὦ τῶν φρενῶν σου γενναίων,
om. σοφὲ Ἀντίγονε. εἴθε σὺ ἦς Ἀλέξανδρος καὶ μὴ ὑπερασπιστὴς Ἀλεξάνδρου.”

Νυκτὸς οὖν εἰσῆλθον εἰς τὴν πόλιν. καὶ κοιμωμένων αὐτῶν ἀνῆψαν σλγ΄.
τὰ προάστεια[2] αὐτῶν. Τῶν δὲ διυπνισθέντων καὶ πυθομένων, τί τὸ αἴτιόν
ἐστι[3] τοῦ ἐμπρησμοῦ, ἐκέλευσεν Ἀλέξανδρος ἐκβοᾶν,[4] ὅτι Κανδαύλης
βασιλεὺς μετὰ πλείστης δυνάμεως [πάρεστι] καὶ ὧδε κελεύει ὑμᾶς ἀποδοῦναι κελεύω gr.
τὴν γυναῖκα, πρὶν ὅλην τὴν πόλιν καταφλέξω. Οἱ δὲ προληφθέντες[5]
πάντας ἀνέστησαν καὶ παραγενόμενοι εἰς τὰ τοῦ βασιλέως οἰκήματα τῇ
δυνάμει τοῦ πλήθους ἤνοιξαν τὰ βασίλεια καὶ ἀπὸ τῆς κοίτης τοῦ βασιλέως
ἀφεῖλον[6] τὴν γυναῖκα καὶ παρέδωκαν τῷ Κανδαύλῃ, τὸν δὲ βασιλέα ἀνεῖλον.

Ὁ δὲ Κανδαύλης λίαν εὐχαρίστησε τῇ συμβουλίᾳ καὶ τῇ ἐπινοίᾳ Ἀντιγόνου. σλδ΄.
Ἐπανελθὼν[7] εἰς τὴν παρεμβολὴν Ἀλεξάνδρου καὶ περιπλακεὶς om. gr.
αὐτῷ εἶπεν· “Ἀντίγονε, πίστευσον σεαυτόν μοι καὶ ἐλθὲ πρὸς τὴν ἐμὴν
μητέρα, ἵνα σοι δωρήματα βασιλικὰ προσενέγκω.[8]” Ὁ δὲ χαίρων εἶπεν· Γ ἀντάξιά σου gr. αλλ.
“Αἴτησαί με παρὰ τοῦ βασιλέως. κἀγὼ γὰρ ἐπιθυμῶ ὁρᾶν τὴν πόλιν.[10]” Γ
Καὶ εἶπε Πτολεμαῖος, ὃς καὶ Ἀλέξανδρος, Κανδαύλῃ· “Βούλομαι διὰ
γραμμάτων ἀσπάσασθαι τὴν μητέρα σου τὴν βασίλισσαν.” ‖ Ὁ δὲ Κανδαύλης om. gr.
ἀπῃτήσατο παρὰ τοῦ βασιλέως τὸν Ἀντίγονον, ἵνα ἀγάγῃ πρὸς
τὴν μητέρα αὐτοῦ καὶ μετὰ βασιλικῶν δώρων ὑποστρέψῃ αὐτόν. # Λέγει
Πτολεμαῖος, ὃς καὶ Ἀλέξανδρος· ‖ “Παραλαβὼν οὖν τοῦτον τὸν ἄγγελόν μου

---

[1] σώσωμεν. [2] w: τὰς ἔξω οἰκίας. [3] l. ե st. եւ. [4] Æ irrig: εἰσκαλεῖν τὸν Κανδαύλην. [5] Der armen. Ausdruck für dies Wort kehrt σμζ΄. wieder, wo M an seiner Stelle ἀπορίᾳ ληφθεὶς giebt. [6] ἀπήγαγον. M: ἀπέσπασαν. [7] Entsprechend der m. E. irrigen Annahme des vor. Cp. von einem εἰσκαλεῖν εἰς τὴν πόλιν. [8] M: δώσω. [9] M: περιχαρὴς γενόμενος. [10] M: τῆς χώρας θεατὴς γενέσθαι.

III, 20. 21. 22.

Ἀντίγονον πάλιν σῶον ὧδε ἔκπεμψον, ὥσπερ καὶ σὺ σῶς πρὸς τὴν μητέρα
σου παραγίγνῃ σὺν τῇ σῇ γυναικὶ ἀνασωθεὶς τῇ ἐκείνου γενναιότητι ἀπὸ
om. τοῦ τῶν Βεβρύκων βασιλέως.” Ὁ δὲ εἶπεν· “Ἰσχυρὲ βασιλεῦ, ὄμνυμι
τοὺς θεοὺς πάντας καὶ τὴν κεφαλήν σου καὶ τὴν τύχην τῆς μητρός μου,
om. ὅτι, ὥσπερ παραλαμβάνω τὸν ἄνδρα τοῦτον ὡς αὐτὸν σὲ τὸν κοσμοκράτορα, τὸν Αλ. gr.
καὶ μετὰ μεγάλης τιμῆς ἐκπέμψω αὐτὸν πρὸς σὲ μετὰ βασιλικῶν δώρων.”

σλε'. Καὶ ἐκεῖσε πορευόμενος Ἀλέξανδρος [ἔλαβε] μεθ' ἑαυτοῦ ἱκανὴν στρατιὰν 21.
om. ⌈καὶ δῶρα καὶ ὁδοιπορικὰ κτήνη καὶ ἀμάξας. ὁδεύων δὲ ἐθαύμαζε τὰ ποικίλα ὄρη
τῆς κρυσταλλοφόρου[1] γῆς φθάνοντα μέχρι τῶν οὐρανίων νεφῶν. καὶ τὰ
δένδρα[2] τὰ ὑψίκομα καρπῶν γέμοντα, οὐχ ὡς παρ' Ἕλλησιν, ὡς ἰδίου
ἴδια θαύματα gr. θάμβους ἄξια.[3] Μηλέαι γὰρ ἦσαν χρυσίζουσαι τὸν ὄγκον τοῦ καρποῦ[4]
ἔχουσαι, ὡς παρ' Ἕλλησι τὰ κίτρα ἐστίν. βότρυς δὲ σταφυλῆς[5], ὥστε μὴ
= A δύνασθαι ῥάγιον ἓν χωρῆσαι τὸ στόμα.[6] καὶ ῥοαὶ[7] μείζονες τῶν πεπόνων.
Πλεῖστοι δὲ δράκοντες περὶ τὰ δένδρα ἐνειλοῦντο. καὶ σαῦροι μείζονες τῶν
δρακόντων[8] ἦσαν. πίθηκοι δὲ οὐδὲν ἥττονες βαρβαρικῶν θηρίων ἢ καὶ om.
τῶν παρ' Ἕλλησιν ἄρκτων. ἄλλα δὲ ζῶα διάφορα καὶ ποικίλα καὶ ξένα τῇ
gr. ἔνιοι – τόποι μορφῇ.[9] Ἔνιοι δὲ τόποι ἦσαν θαυμάσιοι καὶ θεῖοι. καὶ κοιλώματα βύθια
πετρώδεις πετρώδεις καταβάσεις ἔχοντα. Εἶπε δὲ ὁ Κανδαύλης· “Ἀντίγονε, τὰ ὧδε
θεῖον οἰκητήριον καλεῖται. καὶ πολλάκις ἐν τούτῳ τῷ σπηλαίῳ ὁρῶνται
ἀνακείμενοι ἐπὶ κλιντῆρι θεοὶ τῷ καλέσαντι αὐτοὺς βασιλεῖ. ἐὰν οὖν θέλῃς
nur in A ἀναστρέφεσθαι, ἆρον ἱερὸν θῦμα[10] καὶ ποίησον θυσίαν ἐν τοῖς τόποις, καὶ
φανήσονταί σοι.” Κανδαύλου δὲ ταῦτα οὕτως εἰπόντος ἐποιοῦντο τὴν
πορείαν.

σλς'. Ἔπειτα ἔφθασαν εἰς τὰ βασίλεια, καὶ ἀπήντησαν αὐτῷ ἡ μήτηρ αὐτοῦ
καὶ οἱ ἀδελφοί. καὶ ὡς ἔμελλον περιπλέκεσθαι αὐτῷ, εἶπε Κανδαύλης·
“Μὴ πρότερόν μοι περιπλακήσεσθε, ἀδελφοί, ἐὰν μὴ πρῶτον τὸν σωτῆρά
μου γενόμενον καὶ τῆς ἐμῆς γυναικὸς εὐεργέτην ἀσπάσησθε Ἀντίγονον
om. τὸν Ἀλεξάνδρου τοῦ μεγάλου βασιλέως ἄγγελον.” Ὧι εἶπον· “Τί παρέσχε
σοι σωτηρίαν;” Ὡς δὲ διηγήσατο πάντα καὶ τὴν ἁρπαγὴν τῆς γυναικὸς
αὐτοῦ τὴν ὑπὸ τῶν Βεβρύκων καὶ αὐτοῦ τὴν βοήθειαν, ἔπειτα περιεπλάκησαν αὐτῷ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ καὶ δεῖπνον λαμπρὸν κατεσκεύασαν
κατὰ τὰ βασίλεια.

σλζ'. Τῇ δὲ ἑτέρᾳ ἡμέρᾳ ἡ Κανδάκη προῆλθε μετὰ βασιλικοῦ διαδήματος, 22.
τὴν μορφὴν gr. ἐμφαίνουσα ὑπερμεγέθη[11] ἡλικίαν καὶ πρόσωπον ἡμιθέου, ὥστε δοκεῖν
Ἀλέξανδρον τὴν ἑαυτοῦ μητέρα ὁρᾶν Ὀλυμπιάδα. Τὰ δὲ βασίλεια ἔβλεπεν
ἀστράπτοντα χρυσορόφοις[12] στέγαις καὶ πετρήρεσι τοίχοις, στρωμναὶ δὲ
ἦσαν Σηρικαὶ ὑφαντῶν τέχνημα ἐκ χρυσίου πεποιημένον. καὶ κλιντῆρες,
A: δι' ὠνίων καὶ βηρύλλων οἳ ἐπὶ ὀυνιώνων[13] καὶ βηρύλλων ἐπέστησαν, καὶ ἀνάκλιτα[14] ἱμαντοδέτοις
χρυσῶν gr. πήξεσι συνεχόμενα. τράπεζαι δὲ ἐξ ἐλεφαντίνης ὕλης προκείμεναι. καὶ
om. λυγκουρίου ποιότητος ἀνάθεσις. καὶ κίονες Νουμιτικοί[15], ὧν κεφαλίδες

---

[1] Von Æ zu ὄρη gezogen. [2] Von Æ als Nomin. aufgefasst. [3] M: ὡς ἴδια θαύματα. [4] M: τῆς ὀπώρας. [5] Von Æ = ‘Weinstock’ gefasst. [6] Dies scheint mir die urspr. Lesart von A zu sein. Æ hat sich offenbar verlesen, denn er giebt: ὃν μὴ δύναται διαθήκη ἕνα χωρῆσαι εἰς γράμμα. [7] A: κάρυα. [8] A: ἰχνευμόνων. [9] l. Նորակերպք. [10] A: σπονδήν. [11] w: τὴν ὑπεροχὴν τοῦ τῆς ἡλικίας μεγέθους. [12] M: χρυσοφόροις. [13] Das lat. uniones. [14] sellae ad sedendum. [15] M: Μηδικοί.

σεαυτὸν καὶ τὴν γυναῖκά σου πρὸς τὴν μητέρα σου σώους ἀποκαθιστῶ gr.

ἔλαβε μεθ' ἑαυτοῦ ὡς Ἀντιόχου τὸν Ἀλέξανδρον καὶ... gr.

A: βοτρύων δὲ σταφυλαὶ ὡς μὴ δύνασθαι ὥρακον ἐγχωρῆσαι (μᾶλλον ῥῶγα τὸ στόμα ἐγχ.)
κάρυα δὲ τὰ βαλάνων ἔχοντα περίμετρον ὡς πεπόνων μείζονα, πλεῖστοι δὲ δράκοντες
περὶ τὰ δένδρα ἐνειλοῦντο καὶ σαῦροι ἰχνευμόνων μείζονες, πίθηκοι δὲ οὐδὲν ἀποδέοντες
τῶν παρ' Ἕλλησιν ἄρκτων...
BCL: βοτρύων σταφυλαὶ παμμεγέθεις κάρυα δὲ ἔχοντα περίμετρον πεπόνων, πίθηκοι δὲ
τέλειοι ὡς ἄρκτοι...

ἐλεφαντίνοις χρυσαῖς ἀστράπτοντες Σχ. -

× ἐξ ἀμιάντων ξύλων, ἅπερ ἐστὶν ἄσηπτα καὶ ἄκαυστα Σχ.

Γ ὅτι καὶ ὄρη τοιαῦτα ποικίλα τυγχάνει Σχ.

L ὁ δὲ Ἀλ. ἐπιγνοὺς τὸ ἑαυτοῦ ἐκτύπωμα ἐταράχθη καὶ ἔτρεμε. λέγει δὲ αὐτῷ ἡ Κανδ. κτλ. Σχ.

× B: αὐτὸς τῇ προνοίᾳ καταβάλλεται παραχωρησάσης αὐτῆς παρ' ἄλλων τοῦτον πειρασθῆναι ὡς ἀκριβῶς· ὡς οὐδεὶς παρ' ἀνθρώποις ἔχει τὸ τέλειον. — CL: καὶ ἄλλος μείζονα τούτου φρονήσει.

×× B: τί δύνασαι ποιῆσαι, ὡς ἐκρατήθης ὁ τηλικοῦτος βασιλεὺς γενόμενος γυναικὸς μιᾶς ὑποχείριος." ὁ δὲ Ἀλ. ἠθέλησε ξίφει ἑαυτὸν ἀνελεῖν καὶ τὴν Κανδάκην. εἶπε δὲ ...

L [illegible] : τοὺς ὀδόντας σου τρίζεις;

Ἰνδικῷ ξύλῳ μελάγχρωτι ἔλαμπον. καὶ ἀνδριάντων ἦν ἀναθήματα ἠνωρθωμένα ἐκ καλοῦ χαλκοῦ, ἃ διὰ τὸ πλῆθος οὐκ ἀριθμεῖσθαι ἠδύνατο. ἀναρίθμητοι Σχ. Καὶ ἅρματα δρεπανηφόρα τετορνευμένα ἐκ πορφυρίτου λίθου σὺν τοῖς πώλοις καὶ τοῖς ἁρματηλάταις τὴν δόξαν παρεῖχον ἑαυτῶν εἰς δρόμον[1] om. ὁρμᾶν. Ἐλέφαντες δὲ ἐκ τοῦ αὐτοῦ λίθου γλυφέντες τοῖς ποσὶ κατεπάτουν τοὺς πολεμίους καὶ τὰς προβοσκίδας περιβάλλοντες περὶ τοὺς ἀντιδίκους. Ἄλλοι[2] δὲ ναοὶ πάλιν σὺν τοῖς κίοσιν ἐξ ἑνὸς λίθου γεγλυμμένοι.|| καὶ βαρβάρων θεῶν ἀγάλματα τοῖς ἐμβλέπουσιν[3] ἐμφαίνοντα τὴν ὄψιν αἱματηράν. Δοκοί τε ὑψηλότατοι[4] ἐν ὕψει ἐστεγασμένοι, ὅσα κυπάρισσοι ἐκ τῆς βοτάνης ὑπερέχουσαι. πλάτανοι καὶ κ. Σχ. [illegible] Αμ. Ψ. κατάρρους[5] δὲ ποταμὸς ἐξέχεε χρυσοειδὲς ὕδωρ διαυγὲς διαβλύζων φαινόμενος ἄλλο γένος Πακτώλου. Καὶ ἓν καθ' ἓν δένδρων στιχηδὸν πετασθέντων ἀκμάσασαν ἐπιθυμητὴν ἐν τοῖς κλάδοις εἶχον ὀπώραν.|| Ταῦτα ἰδὼν Ἀλέξανδρος θαυμάσας ἐθάμβει.

Ἦν δὲ συνεσθίων ἀδελφὸς[6] Κανδαύλου. σλη. Παρεκάλει δὲ ὁ Κανδαύλης τὴν μητέρα καὶ ἠξίου διδόναι τῷ ἀγγέλῳ ἄξιά τινα δῶρα κατὰ τὴν φρόνησιν αὐτοῦ καὶ οὕτως ἀπολῦσαι.

Τῇ δὲ ἑξῆς[7] ἡμέρᾳ λαβοῦσα τῆς χειρὸς τοῦ Ἀντιγόνου ἡ Κανδάκη σλθ'. ἐδείκνυεν αὐτῷ κοιτῶνας διαυγεῖς ἐξ ἀερίτου = A, ἀερίτου B, ἀερήτου CL λίθου, ὥστε τὸν ἥλιον καὶ διὰ τῶν λιθίνων πλακῶν μαργάρων AB, μαρμάρων L ἐν τοῖς τοίχοις ὑπονοεῖν ἔνδον [ἀνατέλλειν]. καὶ ἐν αὐτοῖς[8] ἦν τρίκλινον μέγα ἐξ× ἀσήπτων ξύλων καὶ ἀκαύστων ὑπὸ πυρός. Οἰκία δὲ ᾠκοδόμητο, ἧς οὐκ ἦν παγὲν θεμέλιον ἐπὶ τῆς γῆς, ἀλλ' ἐπὶ μεγίστων τετραγώνων ξύλων κεκομμένων παγεῖσα τροχήλατος, συρομένη ὑπὸ εἴκοσιν ἐλεφάντων. καὶ ἔνθα ἐπορεύετο ὁ βασιλεὺς ἐπὶ πόλιν πολεμῆσαι, ἐν αὐτῇ ἦν.

Εἶπε δὲ Ἀλέξανδρος πρὸς τὴν βασίλισσαν Κανδάκην· "Ταῦτα πάντα σμ'. ἄξια ἂν ἦν θαυμάζειν, εἰ παρ' Ἕλλησιν ἦν καὶ οὐχὶ παρὰ σοί." Ὠργίσθη Κανδάκη καὶ εἶπεν· "Ἀληθῶς εἶπας, Ἀλέξανδρε." Ὁ δὲ θαμβήσας[9] τῷ ὀνόματι φωνηθεὶς[10] ἀπεστράφη. Ἡ δὲ λέγει· "Τί ἀπεστράφης φωνηθεὶς Ἀλέξανδρος;" Ὁ δὲ ἔφη· "Ἐγώ, κυρία, Ἀντίγονος καλοῦμαι, ἄγγελος Ἀλεξάνδρου." εἶπεν ἡ βασίλισσα· "Κἂν Ἀντίγονος καλῇ παρ' ἐμοί[11], ἀλλὰ βασιλεὺς Ἀλέξανδρος εἶ. ἄρτι δὲ δείκνυμί σοιΓ." Γτὸ συμβόλαιόν σου Σχ. Καὶ κατασχοῦσα τῆς χειρὸς εἰσήγαγεν εἰς τὸν κοιτῶνα. καὶ φέρουσα ἔδειξεν αὐτῷ τὸ γραφὲν ἀμ. BL, [illegible] ἔνθα ἦν εἰκόνισμα καὶ εἶπεν αὐτῷ· "Ἐπιγιγνώσκεις τὸν σεαυτοῦ χαρακτῆρα; L Τί οὖν τρέμεις, τί τετάραξαι, ὁ Περσολέτης καὶ Ἰνδοῦχος[12]; ὁ καθελὼν[13] τὴν νίκην τὴν τῶν Μήδων καὶ Πάρθων, Γνῦν χωρὶς πολέμου καὶ στρατιᾶς ὑποχείριος γέγονας Κανδάκης βασιλίσσης. Γκαὶ ὅλην τὴν ἀνατολὴν καταβαλὼν κτλ. Σχ. ἀπὸ τοῦ νῦν γίγνωσκε, Ἀλέξανδρε, ὅτι ὅστις δοκεῖ τῶν ἀνθρώπων φρονεῖν τι μέγα,× καὶ ἄλλος τις τάχα μείζονα = A τούτου φρόνησιν καὶ σοφίαν ἔχει."

Πρὸς ταῦτα ἐθυμαίνετο Ἀλέξανδρος καὶ ἔτριζε τοὺς ὀδόντας αὐτοῦ. σμα'. Εἶπε Κανδάκη· ××"Τί θυμαίνῃ, τί τρίζεις τοὺς ὀδόντας; νῦν τί δύνασαι = A ποιῆσαί μοι ὁ τηλικοῦτος βασιλεύς;" Ὁ δὲ λέγει· "Διὰ τοῦτο τρόμῳ om. τρίζω τοὺς ὀδόντας καὶ[14] αὐτὸς θυμαίνομαι, ὅτι οὐκ ἔχω τὸ ξίφος μου ἐὰν εἶχον om. παρ' ἐμοί." Λέγει ἡ κυρία· "Εἰ καὶ εἶχες τοῦτο, τί ἠδύνασο ἂν ποιῆσαι;" Ὁ δὲ εἶπεν· "Ἀνῄρουν σε ἂν πρότερον, ἵνα μηκέτι εὑρεθῇς, πρὶν ὑποταγῆναι, καὶ εἶτα αὐτὸς ἐμαυτοῦ προδότης ἂν ἐγενόμην." Ἡ δὲ εἶπε· "Καὶ τοῦτο τί[1] γενναιότητος καὶ βασιλικοῦ νοῦ ἐστιν; ἀλλὰ νῦν μὴ ἀγωνιάσῃς[2], Ἀλέξανδρε, σὺ γὰρ ὥσπερ τὸν υἱόν μου καὶ τὴν γυναῖκα τούτου ἀπὸ τῶν Βεβρύκων διέσωσας, κἀγὼ σὲ οὕτω διαφυλάξω λέγουσα[3] τοῖς βαρβάροις οὐκ εἶναί σε Ἀλέξανδρον. ἐὰν γὰρ γνῶσί[4] σε ὄντα Ἀλέξανδρον, πικρῶς ἀναιροῦσί σε εὐθέως, ὅτι καὶ σὺ Πῶρον ἀνεῖλες. ἡ γὰρ γυνὴ τοῦ μικροτέρου υἱοῦ μου θυγάτηρ ἐστὶ Πώρου. διὸ κλήθητι Ἀλέξανδρος, ὅτι ἐντὸς τῆς ψυχῆς φυλάξω σου τὸ μυστήριον."

---

[1] w: εἰς ὁρμὴν δρόμου. [2] M: ὅλοι. [3] A: μετά τινος φόβου. [4] A: οὐρανομήκεις. [5] So setze ich nach C [A: κατάρρυτος]. Æ: καὶ ὡς. [6] M: τοῖς ἀδελφοῖς. [7] ἑτέρᾳ. [8] l. ի նոցա. [9] So nach Var. ափշեալ. Die Recepta: ἁρπασθείς. [10] w: τῇ τῷ ὀνόματι κλήσει. [11] Vermutl. ἀλλὰ παρ' ἐμοί . . [12] M: Ἰνδολέτης. [13] κατασκάψας. [14] Genau: atque etiam.

τὸ καλέσω L.

om.

σμβ'. 23. Ταῦτα εἰποῦσα ἐξῆλθε σὺν αὐτῷ καὶ εἶπε· "Τέκνον μου Κανδαύλη καὶ θύγατέρ μου Μαρπήσγα[5], εἰ μὴ κατ' εὔκαιρον εὕρετε[6] τὴν στρατιὰν Ἀλεξάνδρου, οὔτε ἐγὼ σὲ ἔτι ἐνταῦθα ἂν ἀπέλαβον, οὔτε σὺ τὴν σεαυτοῦ γυναῖκα εὗρες. ὥστε ἄξιοι γενώμεθα τοῦ ἀγγέλου Ἀλεξάνδρου καὶ δῶμεν αὐτῷ δωρεὰς ἀξίως." Εἶπε δὲ ὁ δεύτερος υἱὸς αὐτῆς Καραβώς·[7] "Μῆτερ βασίλισσα, Ἀλέξανδρος ἔσωσε τὸν ἀδελφόν μου καὶ τὴν γυναῖκα τούτου. δῶμεν αὐτῷ, ὃ βούλει." Ὁ δὲ τρίτος υἱὸς εἶπε[8]· "Κυρία μῆτερ, ἄχθεται[9] ἡ ἐμὴ γυνὴ περὶ τοῦ πατρὸς αὐτῆς, ὅτι ἀνῃρέθη ὑπὸ Ἀλεξάνδρου. καὶ νῦν λυπῆσαι θέλει τὸν Μακεδόνα, καὶ τὸν ἐκείνου ἄγγελον εἰς χεῖρα ἑλοῦσα ἐνθάδε ἀναιρῆσαι τοῦτον τὸν Ἀντίγονον." Λέγει ["Καὶ τί τὸ ὄφελός ἐστί σοι, τέκνον; οὐδὲν γὰρ μέλει Ἀλεξάνδρῳ, ἐὰν ὧδε τοῦτον ἀνέλῃς. εἰσὶ γὰρ πλείονες θεράποντες Ἀλεξάνδρῳ τούτου." Εἶπε δὲ Κανδαύλης· "Ἀλλ' ἐμοὶ οὗτος ἐγένετο σωτὴρ καὶ τῆς ἐμῆς γυναικός, κἀγὼ ὅρκῳ om. ὀφείλω αὐτὸν σῶον ἀναπέμπειν πρὸς τὸν βασιλέα. ἐὰν οὖν οὕτως ἔχῃ, καὶ ἡμεῖς ἕνεκα τούτου ὧδε μάχην ποιοῦντες συνάπτομεν πρὸς ἀλλήλους.[10] ἐγὼ μὲν τοῦτο οὐ θέλω. εἰ δὲ σὺ βούλει, ἕτοιμον[11] εὑρήσεις με."

nur in A, [illegible]

[illegible]

[γ] ἡ Κανδ. add. L.

om.

σμγ'. Ἡ δὲ Κανδάκη ἀγωνιάσασα περὶ τῶν τέκνων, μήπως μαχέσωνται, ἀπολαβοῦσα[12] τὸν Ἀλέξανδρον κατὰ μόνας εἶπεν· "Ἀλέξανδρε, πανταχοῦ ἐγένου φρενήρης. ἀλλ' ἐνθάδε οὐδὲ μίαν ἀφορμὴν οὐ δύνασαι εὑρεῖν φρενῶν, ὅπως μὴ διὰ σὲ πολεμήσωσι τὰ τέκνα μου."

σμδ'. Ὁ δὲ Ἀλέξανδρος ἔφη· "Καραγὼ[13] καὶ σύ, Κανδαύλη, ἐὰν με ὧδε ἀναιρήσητε, οὐδὲν μέλει Ἀλεξάνδρῳ. οἱ γὰρ ἄγγελοι οὐκ ἔντιμοί εἰσι τοῖς βασιλεῦσιν, ἀλλὰ ἄχρηστοί εἰσιν αὐτοῖς[14] εἰς τὸ ἔργον τοῦ πολέμου. Ἐὰν οὖν ἐμὲ ὧδε ἀναιρῆτε, ἔχει ἄλλους ἀγγέλους Ἀλέξανδρος. εἰ δὲ βούλεσθε παρ' ἐμοῦ τὸν ἐχθρὸν ῥᾳδίως συλλαμβάνειν Ἀλέξανδρον, ὑπόσχεσθέ μοι μέρος δωρεῶν δοῦναι ἐνταῦθα, ἵνα πρὸς ὑμᾶς διαμείνω καὶ πείσω τὸν βασιλέα πορεύεσθαι πρὸς ὑμᾶς, ὡς ὑμῶν βουλομένων ἃ ἡτοιμάσατε αὐτῷ δῶρα κατ' ὄψιν ἀποδοῦναι. καὶ τότε ὑποχείριον λαβόντες καὶ ἑαυτοὺς ἐκδικήσαντες πείσαντες[15] ἀναπαύθητε ἀπὸ τοῦ θυμοῦ."

om.

om.

σμε'. Ἐπείσθησαν οἱ ἀδελφοί· ἡ δὲ Κανδάκη ἐθαύμασε τὴν τοῦ Ἀλεξάνδρου

καὶ ἦλθον εἰς ἀγάπην add. L.

---

[1] Sonst als indefin. aufgefasst. Auch von V: accipio professionem dignam viro et animo sane regali. [2] μὴ φοβηθῇς. [3] Æ: λέγειν. [4] M: γνώσωσι. [5] A: ματέρσα. B: ἅρπουσα. C: Ἄρπυσσα. V: Margie. [6] Wohl: գտեալ էիք զզօրն oder գտեալ էր ձեզ զօրն. [7] Doch σμδ'. Καραγώς. V: Charagos. Sonst ist der Name nicht vorhanden. [8] So nur A. [9] λυπεῖται. [10] Viell. lag jedoch eine Frage zu Grunde [M]. [11] A: ἑτοιμότερον. [12] 'bei Seite nehmen'. [13] So hat Æ gelesen. [14] l. նոցա. [15] sc. τὸν θυμόν.

Ἄρπηγα Bi

μὴ ὑπῆρχον τῇ ὑποταγῇ A, cf. arm.

= A, BCL: ἐὰν τοῦτον φονεύσῃς, ἐνίκησας (νικᾷς L) τὸν Ἀλέξανδρον;

Name nur in L, Bi, arm., aber anders: Θῶα L, Θῶς Bi, Φαι arm.

add. cod. B: καὶ πάντα ἅπερ εἶχεν εὐτρεπισθέντα, ἐλέφαντας πέντε πεφορτισμένους καὶ ξύλινον κάστρον ἐπάνω αὐτῶν κείμενον καὶ τέσσαρα κώδωνας ἀργυρέους ἐφ' ἕνα ἕκαστον αὐτῶν παμμεγέθεις δύο ἔμπροσθεν καὶ δύο ὄπισθεν καὶ ὀκτὼ ἄνδρας ἐφ' ἕκαστον τῶν ἐλεφάντων.

θύσας δὲ τοῖς τόποις καὶ χοὰς σπεισάμενος εἰσῆλθεν ... A

om. in A, [illegible]: θρούην (θορύβην M.) σιγὴν (σιγῇ M.) δεδουλωμένην — murmur praesentium insurgebat V.

φρόνησιν καὶ εἶπεν αὐτῷ κατ' ἰδίαν· "'Αλέξανδρε, εἴθε ἦς καὶ σύ μου υἱός, διὰ σοῦ γὰρ πάντων τῶν ἐθνῶν ἂν κατεκράτουν. οὐ γὰρ πολέμῳ μόνον ἐχειρώσω τὴν οἰκουμένην σὺν τοῖς πολίταις[1], ἀλλὰ τῇ πολλῇ ἀγχινοίᾳ. Ἴσθι[2] οὖν ὑπ' αὐτῶν δορυφορούμενος καὶ διακονούμενος[3], μεγάλως Κανδάκης φυλασσούσης[4] τὸ μυστήριον. 'Αλλὰ συμβουλεύω σοι, ἵνα ἀπὸ τοῦ νῦν μηκέτι θαῤῥήσῃς σεαυτοῦ ἄγγελος εἶναι, ἵνα μὴ ὁμοιωθῇς τούτοις, οἳ τοὺς ἑαυτῶν ἐξάγειν ποιοῦσι [καὶ αὐτοὶ πρῶτοι φθείρονται]." [illegible]

Μετὰ δὲ ἡμέρας πορευομένῳ δίδωσιν αὐτῷ Κανδάκη δῶρα βασιλικά, στέφανον ἀδαμάντινον πολύτιμον, καὶ θώρακα πηνωτὸν[5] διὰ ὀνυχίων καὶ βηρύλλων, καὶ χλαμύδα ἀστεροφεγγῆ ὁλοπόρφυρον χρυσόπαστον.[6] Καὶ τοιαύτῃ τιμῇ ἐκπέμπει αὐτὸν μετὰ τῆς παραθήκης[7] σὺν τοῖς ἰδίοις στρατιώταις. σμς΄. λίθων – διονίου L

24. Ὁδοιπορήσας δὲ ὁ βασιλεὺς ἐπὶ τεταγμένας ἡμέρας ἦλθεν ἐπ' ἐκεῖνα τὰ θαυμάσια σπήλαια, ἔνθα εἶπεν αὐτῷ Κανδαύλης τοὺς θεοὺς διαιτᾶσθαι.[8] Εἰσῆλθεν ἔνδον μετὰ ὀλίγων στρατιωτῶν. καὶ εἶδεν ὁμίχλην ἀστεροφεγγῆ. καὶ ἔστιλβον τὰ ὀροφώματα ὡς ἀστέρων βολαῖς. ἔξωθεν δὲ φαντασίαι δαιμόνων[9], καὶ θροῦς σιγῇ δεδουλωμένος[10]. καὶ ἐθάμβησε προληφθείς.[11] ἐπέμεινε δὲ ἰδεῖν τὸ ἀποβησόμενον. Εἶδε γάρ τινας[12] ἀνακειμένους ἀστράπτοντας ἐκ τῶν ὀφθαλμῶν ὡς λύχνων φέγγη, ἕνα δὲ λέγοντα· "Χαίροις, 'Αλέξανδρε, οἶδάς με, τίς εἰμί;" Λέγει· "Οὐχί, κύριε." Ὁ δὲ λέγει· "'Εγώ εἰμι Σεσόγχωσις κοσμοκράτωρ βασιλεὺς συνδίαιτος θεῶν γενόμενος. ἀλλ' οὐ τοσοῦτον εὐτύχησα, ὅσον σύ. λήψῃ γὰρ ὄνομα ἀθάνατον καὶ μετὰ τὸν θάνατον." Λέγει[13] δέ· "Πῶς, κύριε;" Εἶπεν· "Ὅτι ἐγὼ ὁ ὅλην τὴν οἰκουμένην ὑποτάξας καὶ τοσαῦτα ἔθνη καταδουλώσας ἀνώνυμός εἰμι, σὺ δὲ γενήσῃ περιώνυμος κτίσας τὴν περιπόθητον[14] θεῶν ἐν Αἰγύπτῳ 'Αλεξάνδρειαν [Σουττλουίς, 'Ιάλαν, Δραύλ, Λουτάλ][15]. ἀλλ' εἴσελθε καὶ ὄψει τὸν πάσης τῆς φύσεως ποιητὴν καὶ προστάτην." σμζ΄. τόπους = A om. in A fehlt in C und Bi. cf. C und Bi

Εἰσῆλθεν ὁ βασιλεὺς καὶ ὁρᾷ ὁμίχλην πυριφεγγῆ καὶ τὸν θεὸν καθεζόμενον ἐπὶ θρόνου, ὅν ποτε εἶδεν ἐν Ῥακώτιδι προσκυνηθέντα ὑπὸ τῶν ἀνθρώπων, τὸν κύριον Σάραπιν.[16] Εἶπε· "Τί ἐστι τοῦτο, δαῖμον ἄφθαρτε, τῆς φύσεως γέννημα;[17] εἶδόν σε ἐν τοῖς κλίμασι Λιβύων ἐν θρόνῳ καθεζόμενον, καὶ νῦν ἐνθάδε πάλιν ὁρῶ σε;" Εἶπε πλησίον παρ' αὐτῷ ἑστὼς Σεσόγχωσις 'Αλεξάνδρῳ· "Οὗτος πανταχοῦ φαίνεται ἐν ἑνὶ τόπῳ σταθείς, ὥσπερ καὶ ὁ οὐρανὸς φαίνεται πανταχοῦ ὁ ἐν μιᾷ ὕψους στάσει σταθείς." σμη΄. f. in C, [illegible] in Arm.

Εἶπε δὲ 'Αλέξανδρος· "Κύριε θεός, πόσα ἔτη ζήσομαι;" Ὁ δὲ Σεσόγχωσις εἶπε· "Καλόν ἐστι θνητῷ μὴ εἰδέναι, πότε τελευτᾷ. προσδεχόμενος γὰρ σμθ΄. = Bi, C Σάραπις τὴν ἡμέραν ἐκείνην, ἀφ᾽ οὗ ἔμαθεν, ἐτελεύτησε.[1] τὸ δὲ ἀγνοίᾳ φέρειν[2] τοῦτο κρυφαίαν λήθην παρέχει, τὸ μὴ ἔχειν κατὰ γνώμην, εἰ ὅλως τελευτᾷ. Ἀλλὰ ἡ πόλις, ἣν κτίζεις, γενήσεται περίφημος καὶ ἐπιφανὴς πᾶσι τοῖς ἀνθρώποις, τροφὸς καὶ τιθήνη πάσης τῆς οἰκουμένης. καὶ πολλοὶ βασιλεῖς ἐπιβήσονται τῷ ἐδάφει σὲ προσκυνοῦντες ὡς θεόν[3], οἰκήσεις δὲ ἐν αὐτῇ θανὼν καὶ μὴ θανών. τάφον γὰρ ἕξεις ἣν κτίζεις πόλιν."

---

[1] M: τοὺς πολεμίους καὶ τὰς πόλεις. [2] So B. A: ἥσθη. [3] Æ unverständl.: Infin. [4] l. պահեցեալ an Stelle von պահել նմա. [5] պինովտոն. Wohl = ὑφασμένον, da πῆνος nach Hesych. = ὕφασμα [Steph. Thes.]. [6] Æ w: ἐξ ὁλοπορφύρου χρυσοπάστου. [7] M: μετὰ παραδοχῆς. [8] περιπατεῖν. [9] M: εἰδώλων. [10] V: murmur. — St. des Inf. erwartet man ein Partic. [11] M: ἀπορίᾳ ληφθείς. Vgl. σλγ΄. [12] Nach der Anm. boten die arm. Hdss. hier Ἄμμωνα. Die Herausgg. haben τινὰς nach dem Griech. und Latein. gesetzt. [13] Æ: λέγω. [14] Genau: ποθητήν, ὀρεκτήν. [15] Zu dem von mir Eingeklammerten bemerken die Herausgg., dass diese Namen weder im Griechischen, noch im Lateinischen vorhanden seien. [16] So nur bei V. [17] Da Sarapis kurz vorher ποιητὴς πάσης τῆς φύσεως genannt war, so ist die Bezeichnung γέννημα φύσεως auffallend und beruht wohl auf unrichtiger Lesung. — [illegible] ἀγένητε – ἀφθάρτου [illegible] cf. Bi 5435.

A, Bi, τοῦ ἐδαφίσαι C, τοῦ ἐκδαφῆσαι B

σν'. 25. Οὕτως εἰπόντος τοῦ ἀγγέλου[4] ἐξῆλθεν Ἀλέξανδρος καὶ παραλαβὼν τοὺς ἰδίους ἐπορεύθη τὴν ὁδόν, ἣν πορευθησόμενος ἦν. Ὑπήντησαν δὲ αὐτῷ οἱ σατράπαι καὶ ἔστεψαν αὐτὸν τῷ διαδήματι[5] καὶ ἔδωκαν αὐτῷ τὴν βασιλικὴν ἐσθῆτα.

ἐπὶ τὰς Ἀμαζόνας B.×

om. A L, Bi

σνα'. Τὴν δὲ ὁδοιπορίαν ἐπὶ τὰς Ἀμαζόνας ἐποιήσατο. καὶ πλησιάσας ἀπέστειλε πρὸς αὐτὰς γράμματα περιέχοντα οὕτω· "Βασιλεὺς Ἀλέξανδρος Ἀμαζόσι χαίρειν. Τὴν πρὸς Δαρεῖον μάχην οἶμαι ὑμᾶς εἰδέναι. ἐκεῖθεν δὲ εἰς τοὺς Ἰνδοὺς[6] ἐστρατεύσαμεν. ×καὶ εὑρόντες ἐκεῖ ἄνδρας γενναίους τοὺς ἡγουμένους αὐτῶν καὶ τοὺς βασιλέας καὶ τοὺς γυμνοσοφιστὰς λαβόντες φόρον παρ᾽ αὐτῶν ἤραμεν. εἰάσαμεν ἐπὶ τὸν ἴδιον τόπον καταμένειν καὶ ἐν εἰρήνῃ τὴν χώραν κατεστήσαμεν. διὸ γηθοσύνως ἡμᾶς ὑπεδέξαντο καὶ θυσίας τελείας[7] δι᾽ ἡμᾶς ἐποίησαν. ἐκεῖθεν δὲ πάλιν πρὸς ὑμᾶς ἤλθομεν. Καὶ ὑμεῖς οὖν συναντήσατε ἡμῖν. ἐρχόμεθα γὰρ οὐ κακόν τι ποιεῖν, ἀλλὰ ὁρᾶν τὴν χώραν, ἅμα δὲ καὶ ὑμᾶς εὐεργετῆσαι. ἔρρωσθε."

σνβ'. Δεξάμεναι δὲ ταῦτα καὶ αὗται αὐτῷ ἔγραψαν οὕτως· "Ἀμαζόνων[8] αἱ κράτισται καὶ ἡγούμεναι τῆς στρατιᾶς βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν. Ἐγράψαμέν σοι, ἵνα εἰδῇς πρὸ τοῦ σε ἐπιβῆναι ἐπὶ τοὺς τόπους, ἵνα μὴ ἀδόξως[9] ἐπανέλθῃς. διὰ τούτων τῶν γραμμάτων διασαφοῦμέν σοι τὰ τῆς χώρας ἡμῶν καὶ ἡμᾶς. ἐσμὲν γὰρ γενναῖαι καὶ ἀνδρεῖαι. ἐσμὲν γὰρ τοῦ Ἀμαζονικοῦ ποταμοῦ ἔτι πέραν καὶ οἰκοῦμεν ἐν νήσῳ[10]. τὸ δὲ περίμετρον αὐτῆς ἐνιαυτοῦ πορεία [ἐστίν], καὶ περὶ αὐτὴν ποταμός ἐστιν οὐκ ἔχων ἀρχήν. ἔστι δὲ μία πρόσοδος. Ἐσμὲν δὲ κατοικοῦσαι παρθένοι μυριάδες εἴκοσιν ἔνοπλοι, αἳ ἀνδρῶν πεῖραν οὐκ οἴδαμεν, ἄρρεν δὲ παρ᾽ ἡμῖν οὐδὲν ὑπάρχει. οἱ δὲ ἄνδρες ἡμῶν πέραν τοῦ ποταμοῦ κατοικοῦσι τὴν τῆς χώρας[11] διοίκησιν ὑπολαβόντες[12] εἰς ἀπόλαυσιν. Ἡμεῖς δὲ κατ᾽ ἐνιαυτὸν ἄγομεν πανήγυριν (ἑορτὴν πάνδημον), ἱπποφονίας θύουσαι τῷ Διὶ καὶ Ποσειδῶνι καὶ Ἡφαίστῳ[13] ἡμέρας τριάκοντα. Καὶ οὕτω περῶμεν πέραν τοῦ ποταμοῦ πρὸς τοὺς ἄνδρας, καὶ οὗτοι ποιοῦσι πρὸς ἡμᾶς τὸν γάμον τῆς συνουσίας[14] ἡμέρας τριάκοντα. Ὅσαι[15] δὲ βούλονται φθείρεσθαι ἡμῶν, περῶσι [καὶ] καταμένουσιν ἐκεῖ παρὰ τοῖς ἀνδράσι. τὰ δὲ θηλυκά, ὅσα ἂν τίκτωσι, γενόμενα ἑπταετῆ διαβιβάζουσι πρὸς ἡμᾶς. Ὅταν δὲ πολέμιον στράτευμα ἐπὶ τὴν ἡμετέραν χώραν ἐπέλθῃ, ἐκπορευόμεθα πρὸς αὐτοὺς ἔφιπποι πλείονες μυριάδων δώδεκα, αἱ δὲ λοιπαὶ τὴν νῆσον φυλάττουσι. καὶ ἐρχόμεθα εἰς συνάντησιν ἐπὶ τὰ ὅρια, οἱ δὲ ἄνδρες ὄπισθεν τεταγμένοι ἀκο-

om.

τὴν χώραν νεμόμενοι Bi.

om. B, παντία AL

om.

om.

---

[1] Var. ἐκ. τ. ἡμ. προσδεχ. ἑκάστῃ ἡμέρᾳ ἀποθνήσκει. [2] Wohl = ἀγνοεῖν. Besser M: τῷ δὲ ἐν ἀγνοίᾳ ὄντι λήθην φέρει τὸ μὴ ἔχειν . . [3] l. Sing. [4] A. [5] l. թագաւ որ և st. թագաւոր և. [6] Æ hat nach Ἰ. irrig das Relativum. [7] l. կատարեալս st. կատարել. [8] Æ: Ἀμαζόνες. [9] Æ: ἄδοξος. [10] M: ἐν μέσῳ. [11] Nach Var. աշխարհին. [12] Wohl ընկալեալ st. ընդ որ կալեալ. [13] M ferner: καὶ Ἄρει. [14] M: συμμιγῆναι. [15] l. որք ohne զոմանս.

× ἐπὶ τὰ ἴδια στρατεύματα L, Bi.

Arm.: καὶ τοὺς ἡγουμένους αὐτῶν ἡττήσαμεν· καὶ κατεδουλώσαμεν αὐτοὺς διὰ τῆς ἄνω προνοίας· ἐκεῖθεν δὲ εἰς τοὺς Βραχμᾶνας ὡδεύσαμεν τοὺς καλουμένους γυμνοσοφιστάς. καὶ λαβόντες φόρους παρ᾽ αὐτῶν παρακαλεσάντων ἡμᾶς ἀφήκαμεν ἐπὶ τὸν ἴδιον τόπον καταμένειν (καὶ ἐν εἰρήνῃ τὴν χώραν καταστήσαντες A) παρεσάσαμεν. Ἐκεῖθεν οὖν ἀναζευγνύομεν πρὸς ὑμᾶς· ὑμεῖς οὖν συναντήσαντες ἡμῖν γηθοσύνως ὑποδέξασθε

χιλιάδες κ' A, μυριάδες εἴκοσι ἑπτὰ BL

καὶ οὐ διελίπομεν ἱστῶντες τρόπαια κατὰ πάντων Gr.

λουθοῦσιν ἡμῖν. Καὶ ἐάν τις ἐν τῷ πολέμῳ τραυματίας γένηται, τρέφονται ἐπὶ τῆς ἱερᾶς τραπέζης Διός[1], καὶ πᾶσαι προσκυνοῦσιν αὐτὴν δύο ἡμέρας, καὶ τῶν συγγενῶν στέφανος ἀείμνηστός [ἐστιν].[2] ἣ δὲ ἂν πέσῃ ἐν τῷ πολέμῳ ὑπερμαχοῦσα τῆς χώρας, αἱ ἔγγιστα αὐτῆς χρήματα λαμβάνουσιν οὐκ ὀλίγα. Ἐὰν δέ τις ἀναγάγῃ[3] ἐκ τῶν ἐναντίων εἰς τὴν νῆσον, πρόκειται τῆς νίκης σημεῖον ἐχούσῃ ἀργυρᾶ καὶ χρυσᾶ οὐκ ὀλίγα καὶ σίτησιν διὰ[4] τοῦ βίου αὐτῆς, ὥστε ἡμᾶς πάσας[5] ἀγωνίζεσθαι ὑπὲρ τῆς ἡμετέρας χώρας.[6] Ἐὰν δὲ ὑπὸ τῶν πολεμίων νικηθῶμεν[7] ἢ φύγωσιν, ὄνειδος αὐταῖς καταμένει ἀκολουθοῦν αὐταῖς εἰς ἅπαντα τὸν χρόνον. ἐὰν δὲ ἡμᾶς νικήσωσιν, ἔσονται[8] γυναῖκας Ἀμαζόνας νενικηκότες. Ὅρα οὖν, βασιλεῦ Ἀλέξανδρε, μὴ ταῦτα συμβήσεταί σοι. στεφανοῦμέν δέ σε κατ' ἐνιαυτόν, ὅσον ἂν συντάξῃς.[9] Βουλευσάμενος οὖν περὶ τούτου ἀντίγραφον ἡμῖν, καὶ εὑρήσεις τὴν παρεμβολὴν ἡμῶν ἐπὶ τῶν ὁρίων σου." ἔρρωσο add. B, om. L

προσκυνεῖται διὰ τῆς ἡμετέρας ἡγεμονίας Gr.

νικήσωμεν? ?

26. Ὁ δὲ βασιλεὺς λαβὼν καὶ ἀναγνοὺς τὰ γεγραμμένα καὶ πολὺ μειδιάσας ἀντέγραφεν αὐταῖς οὕτως· "Ὁ πάντων τῶν βασιλέων καῖσαρ Ἀλέξανδρος Ἀμαζόσι χαίρειν. Τῶν τριῶν μερῶν τῆς οἰκουμένης ἐκυριεύσαμεν τῇ ἄνω βοηθείᾳ, καὶ οὐδενὸς καταλιπόντες σημεῖον ἀηττησίας, ἀλλὰ πάντας νικήσαντες. Αἰσχρὸν οὖν ἡμῖν ὑπολέλειπται[10], ἐὰν μὴ στρατεύσωμεν ἐφ' ὑμᾶς. Εἰ οὖν θέλετε ἀπολέσθαι καὶ ἀοίκητον τὴν χώραν ὑμῶν γενέσθαι, μείνατε ἐπὶ τῶν ὁρίων. εἰ δὲ βούλεσθε ἐν τῇ ὑμετέρᾳ γῇ οἰκεῖν καὶ μὴ λαβεῖν πεῖραν πολέμου, διαβᾶσαι τὸν ποταμὸν ὄφθητε ἡμῖν. ὡσαύτως καὶ οἱ ἄνδρες ὑμῶν παραταξάτωσαν ἑαυτοὺς ἐν τῷ πεδίῳ. Ἐὰν ταῦτα πράξητε, ὄμνυμι ὑμῖν τὸν ἐμὸν[11] πατέρα Δία καὶ Ἄρη καὶ Ἥραν καὶ Ἀθηνᾶν νικαφόρον μὴ ἀδικῆσαι ὑμᾶς. Ὃν δὲ ἂν θέλητε διδόναι φόρον, τοῦτον λήψομαι παρ' ὑμῶν εἰς τὴν στρατιὰν ὑμῶν, καὶ οὐκ ἐλεύσομαι εἰς τὴν ὑμετέραν σκηνὴν εἰς τὴν γῆν. ἃς δὲ ἂν κρίνητε, ἐφίππους ἀποστείλατε πρὸς ἡμᾶς. δίδομεν δὲ καθ' ἕκαστον μῆνα ἑκάστῃ γυναικὶ χρυσίου μνᾶς πέντε παρὰ[12] ἄλλα τινά. μετὰ δὲ ἐνιαυτὸν αὗται ἀποσταλήσονται εἰς τὴν χώραν αὐτῶν, ὑμεῖς δὲ ἄλλας ἀντὶ τούτων πέμψατε. Βουλευσάμεναι οὖν ἀντιπέμψατε ἡμῖν ἀπόκρισιν. ἔρρωσθε."

σνγ΄.

βασιλεὺς Gr.

om. — ἐμὸν πατέρα καὶ ἐμὴν μητέρα Bl, τὴν ἄνω πρόνοιαν C

om.

χρυσίου στατῆρα καὶ σιτηρέσια Gr.

Αὗται δὲ [βουλὴν ποιησάμεναι ἔγραψαν αὐτῆς[13] ἀπόκρισιν περιέχουσαν οὕτως· "Ἀμαζόνων αἱ κράτισται καὶ ἡγούμεναι τῆς στρατιᾶς τὰ τοῦ αὐτοκράτορος βασιλέως προστάγματα ἀπειλήφαμεν τὰ Ἀλεξάνδρου. Δίδομέν σοι ἐξουσίαν ἐλθεῖν πρὸς ἡμᾶς καὶ θεάσασθαι τὴν ἡμετέραν χώραν. τάσσομεν δὲ διδόναι σοι κατ' ἐνιαυτὸν χρυσίου τάλαντα ἑκατὸν καὶ τὰς κρατίστας ἡμῶν πεντακοσίας ἀπεστείλαμέν σοι εἰς ἀπάντησιν εἰς τὰ ὅρια φερούσας σοι τὰ χρήματα καὶ ἐφίππους[14] γενναίας ἑκατόν. αὗται ἔσονται παρ' ὑμῖν τὸν ἐνιαυτόν. Ἐὰν δέ τις αὐτῶν διαφθαρῇ[15] ὑπὸ ἀλλογενοῦς, γενέσθω[16] ἐν τῇ χώρᾳ, τοὺς νόμους ἀσεβήσασα. Ἀλλὰ γράψον, αἵτινες βούλονται

σνδ΄. [ἀναγνοῦσαι τὰ γε-
βασιλεῖ Ἀλ. καὶ σειν Gr.

om.

---

[1] V: publicis conviviis adhibemur.
[2] M: στεφθεῖσα ἀείμνηστός ἐστιν.
[3] M: σῶμα ἀναγάγῃ.
[4] So nach A. Æ giebt m. E. unrichtig: μέχρι τοῦ βίου.
[5] l. ամենեսին.
[6] M: δόξης.
[7] M: τῶν πολ. κρατήσωμεν.
[8] l. եղիցին.
[9] V: corona aurea, quae sit ponderis, quanto tu jusseris.
[10] l. թողեալ. Das Richtige bietet m. E. M: ὑπολειφθήσεται.
[11] A: ἡμῶν.
[12] V: minae auri quinque praeter caetera.
[13] sc. τῆς βουλῆς, wenn nicht նմա αὐτῷ zu lesen ist.
[14] M: ἵππους γενναίους.
[15] M: διακορευθῇ.
[16] M: μενέτω.

παρ' ὑμῖν καταμένειν, τὰς δὲ λοιπὰς ἐξαπόστειλον[1], λήψῃ ἄλλας. Διὸ πειθαρχοῦμέν σοι παρόντι καὶ ἀπόντι. ἀκηκόαμεν γάρ σου τὴν ἀρετὴν καὶ τὴν δύναμιν. τί γάρ ἐσμεν[2] ἡμεῖς παρὰ πᾶσαν τὴν οἰκουμένην, ἣν σὺ ἐπελήλυθας, ὥστε σοι ἀντιποιεῖσθαι πραγμάτων;[3] Ἐδόκει δὲ ἡμῖν ἐπὶ τῆς ἰδίας γῆς κατοικεῖν σοι πειθαρχούσας." ὡς δεσπότῃ. ἔρρωσο [illegible]

σνέ.[4] Ταῦτα δὲ συντάξας τὴν ὁδοιπορίαν ἐποιήσατο εἰς τὴν τῶν Παρασαγγῶν[5] γῆν. = IV Σφόδρα δὲ εἰς ἀθυμίαν[6] ἦλθον οἱ στρατιῶται. Θέρους[7] [γὰρ] μεσάζοντος Ζεὺς οὐκ ἐπαύσατο ὕων ἡμέρας τεσσαράκοντα, ὥστε τοὺς ἀναφορέας τῶν ἀσπίδων ὑπὸ τοῦ ὕδατος σήπεσθαι, ἔτι δὲ καὶ τοὺς χαλινοὺς τῶν ἵππων. καὶ πολλῶν ἐκ τῶν παίδων[8] πόδες διαβεβρεγμένοι ἐτρώθησαν διὰ τὴν ἀνυποδησίαν. Καὶ προσφάτως παυσαμένου τοῦ ὑετοῦ καῦμα ἐγένετο τοσοῦτο, ὥστε οὐδένα δύνασθαι φέρειν. Ἐγένοντο καὶ βρονταὶ μέγισται, καὶ ἀστραπαὶ ἔπιπτον πυκνῶς, ὥστε φωνὰς περιτρέχειν περὶ τῶν ἐν τάξει.[9] Ἤμελλον δὲ διαβαίνειν τὸν ποταμόν.[10] Ἐπυνθάνετο τῶν ἐγχωρίων[11] περὶ τοῦ τῆς δυνάμεως πλήθους τοῦ βασιλέως, ὃς πέραν ἦν ἐν τῇ τῶν Παρασαγγῶν χώρᾳ. ἦν δὲ αὕτη ἡ χώρα παρὰ τὸν Ὠκεανόν. Καὶ εἶπον αὐτῷ οἱ ἐγχώριοι, ὅτι εἰσὶν αὐτοῦ ἐλέφαντες φατνιστοὶ[12] πεντακισχίλιοι καὶ ἅρματα μύρια καὶ ἀνθρώπων πολλαὶ μυριάδες. Ταῦτα ἀκούσας ὁ φρενήρης Ἀλέξανδρος προνομεύσας τὴν παραποταμίαν καὶ τὴν ἄλλην χώραν τῶν Ἰνδῶν[13], καὶ οὕτω βωμοὺς κτίσας ἐμπύρους διὰ τοῦ στρατεύματος αὐτοῦ θυσίας τοῖς θεοῖς ἐτελείωσε.

σνϛ́.[14] Παρέλαβε δὲ γράμματα παρὰ τοῦ σοφοῦ Ἀριστοτέλους περιέχοντα οὕτως· "Ἀριστοτέλης βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν. Ἀπορῶ σφόδρα ζητῶν, τί πρῶτόν σοι, ἔπειτα τί ἔσχατον ἀριθμήσω.[15] Ὁ γὰρ Ζεὺς μαρτυρεῖ καὶ ὁ Ποσειδῶν, ὅτι τῶν εὐτυχῶν καὶ ἐπιφανῶν καὶ περιφήμων ἔργων [σου] πρῶτον τοῖς θεοῖς πᾶσι καὶ θεαῖς χάριν ἔχω. Πάντα γὰρ ἀγῶνα καὶ ἆθλον, ἔτι δὲ καὶ κίνδυνον ὑποδεξάμενος[16] ἐν οὐδενὶ κατελήφθης. ἐν γὰρ τῇ τῶν Ἰνδῶν χώρᾳ δὶς καὶ πολλαπλασίως εἰς χειμῶνας εἰσελθὼν[17] διεσώθης. καὶ εἰς ἐκείνην τὴν χώραν ἐάν τις ἑαυτὸν διδόναι ἀνάσχῃ, ἐπιφανῶν καὶ περιφήμων καὶ θαυμαστῶν ἔργων ὄνομα λήψεται. Στρατηγίας γὰρ

---

[1] Bei Æ Inf. [2] M: ἡμεῖς γὰρ οὐ παρὰ τὴν οἰκ. οἰκοῦμεν. [3] St. des unverst. ի բաց ist m. E. իրաց πραγμάτων zu lesen. [4] Bei A folgt hier der Brief an Olympias, den Æ in σνή. bringt. Dagegen entspricht die Erzählung bei V im Wesentlichen dem folgenden Berichte von Æ. [5] Offenbar Verlesung. Aber auch 'in Prasiacam' von V will nicht passen. Ich lasse daher die überlieferte Lesart stehen. [6] Æ: ῥᾳθυμίαν. [7] St. պարգևին միջոցելոց ist ամարան միջոցելոյ zu lesen. M: ἡμέρας μεσαζούσης. [8] Wohl verlesen st. πεζῶν [M]. [9] C: ὠ. φ. π. ὑπὸ τῶν στρατιωτῶν. V: nam et voces incertas resonantes audierant. [10] Von V Hypanis, von den Griechen Prytanis genannt. [11] Ergänze բնակիչս. [12] մսրամուտք dürfte nach der Zusammensetzung sein = qui in stabulum ingrediuntur. C: περιφανεῖς. [13] Scheint für die Richtigkeit von 'Prasiacam' zu sprechen. Möglich, dass das ganze Cp. aus einer kürzer gefassten Recension eingefügt ist. [14] Der Brief von Arist. nur noch bei V. [15] V: per mihi difficile est eligere vel laudare ex hisce omnibus aliquid, quae te in ista militia gessisse cognovi. [16] Wohl: յանձն քո առեալ st. կրեալ. [17] Nach Var. մտեալ st. մատնեալ.

γενναῖος ἀγωνιστὴς [ὢν] ῥᾳδίως γιγνώσκεται, καὶ τὴν βουλὴν [οἷος] Νέστωρ,
καὶ τὴν τῆς στρατείας μάχην [οἷος] ὁ γενναῖος Ὀδυσσεύς, ὃς

πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω.

Λέγω γάρ σοι [θαυμαστὰ εἶναι], ἃ [ὑπὸ σοῦ] ἀμφὶ τριάκοντα ἔτη [γεγονότος] πέπρακται. ὃν ἐροῦσιν·[1] "Ἀλέξανδρος ὁ Μακεδὼν ἀπὸ τῶν δυσμῶν εἰς τὴν ἀνατολὴν ἦλθε, καὶ γηθοσύνως παρέλαβον αὐτὸν οἱ Αἰθίοπες, οἱ Σκύθαι, οἱ μὲν πρὸς δυσμάς, οἱ δὲ πρὸς ἀνατολὴν ἡλίου." ἄλλοι δέ, οἳ ἐδόκουν ἀντιτάσσεσθαί σοι — καὶ οὗτοι ἔπεμψαν δεόμενοι, ὅπως φίλος γένῃ αὐτοῖς. εὖγε, βασιλεῦ ἰσόθεε. ἔρρωσο."

Λαβὼν δὲ τὸ στράτευμα ἦλθε καὶ ἐπορεύθη εἰς τὴν Βαβυλῶνα. καὶ σνζ'.
παραγενόμενος ἐκεῖ μεγάλῃ τιμῇ ἐτιμήθη, καὶ θυσίας προσήνεγκε τοῖς
θεοῖς καὶ ἀγῶνα εἰς γύμνασμα τῶν ἀθλητῶν καὶ μουσικὸν ἐτέλεσεν. ||

27. Ἐν τούτοις δὲ γενόμενος γράφει ἐπιστολὴν Ὀλυμπιάδι τῇ μητρὶ περὶ[2] σνη'.
τῶν παρεληλυθότων πραγμάτων, ἧς ἐστιν ἀντίγραφον τόδε [καὶ τῶν ἐπιστολῶν τούτων διαπεπεμμένων γνωρίζει τὰ ὑπ' αὐτοῦ πεπραγμένα Ὀλυμπιάδι τῇ βασιλείᾳ][3], ἐν ᾗ φανερῶς καὶ ἀκριβῶς διηγεῖται πάντα ἓν καθ' ἓν οὕτω· "Βασιλεὺς δυνάστης Ἀλ. καὶ καῖσαρ αὐτοκράτωρ τῶν τριῶν μερῶν om.
τῆς οἰκουμένης γράφω Ὀλυμπιάδι τῇ μεγαλοτίμῳ μητρί μου χαίρειν γλυκυτάτῃ A
ἀλλήκτως. [Περὶ][4] τῶν ἀπ' ἀρχῆς πεπραγμένων ἡμῖν μέχρι τούτων, ἃ ἐν Ausg. = A c. IV.
τῇ Ἀσίᾳ πράγματα ἐγένετο, πέπεισμαι εἰδέναι σε ἐκ[5] τῶν παρ' ἡμῶν πρὸς
σὲ γραφέντων. Ἐδόκει δέ μοι καὶ περὶ τῶν ἄνω κλιμάτων τὰ τῆς πορείας τῆς ἄνω πορείας A
δηλῶσαί σοι. Πορευθεὶς γὰρ ἐπὶ[6] Βαβυλῶνα καὶ λαβὼν μετ' ἐμοῦ τὰς
ἰσχυροτάτας μυριάδας πεντεκαίδεκα[7] πάλιν ἐποιησάμην ἄλλην πορείαν. χιλιάδας οβ'
Καὶ παραγενόμενος εἰς παρασάγγας[8] . . . ἦλθον ἐπὶ τὰς Ἡρακλέους στήλας
ἐν ἡμέραις ἐνενήκοντα πέντε.[9] ἔφασαν γὰρ τὸν Ἡρακλέα ὅρον τῆς χώρας[10]
ποιῆσαι καὶ εἶναι δύο στήλας, τὴν μὲν χρυσῆν, τὴν δὲ ἀργυρᾶν, τὸ μὲν
ὕψος πήχεων δώδεκα, τὸ δὲ πλάτος πήχεων δύο.[11] Ἐμοῦ δὲ μὴ πιστεύ- ιβ' A.
σαντος, εἴ εἰσι σφυρήλατοι, ἔδοξέ μοι θῦσαι τῷ Ἡρακλεῖ καὶ ἐκτρυπῆσαι
μίαν τῶν στηλῶν. ἐφάνη δέ μοι ὁλόχρυσος. ἔδοξε δέ μοι πάλιν ἀναπληρῶσαι τὸ τρύπημα, καὶ εὑρέθη τὸ τρύπημα χωροῦν χρυσία[12] χίλια καὶ
πεντακόσια τοῦτ' ἔστι δραχμάς. Ἐντεῦθεν δὲ ἀναζευγνύουσι δι' ἐρήμου om.
καὶ κρημνώδους χώρας ὑπὸ τῆς ὁμίχλης οὐκ ἦν ἡμῖν ἰδεῖν τὸν παρεστῶτα,
τίς ποτέ ἐστιν. Καὶ ἐκ τῶν τόπων τούτων ἐπορεύθημεν καὶ ἐβαδίζομεν εἰς
παρασάγγας[13] . . . [καὶ ἤκομεν][14] ἐν ἡμέραις ἑπτὰ ἐπὶ τὸν καλούμενον
Θερμώδοντα ποταμόν, ὃς ἔρχεται καὶ εἰσβάλλει εἰς τὸν Πόντον[15], χώραν om.
πεδινὴν διαρρέων καὶ εὐδαίμονα. ὧδε δὲ ᾤκουν Ἀμαζονίδες γυναῖκες, τῷ μεγέθει καὶ κάλλει ὑπερέχουσαι καθ' ὑπερβολὴν πασῶν τῶν γυναικῶν, καλοκἀγαθαὶ καὶ ἀνδρεῖαι. ἐσθῆτας δὲ ἐφόρουν ἀνθινάς, ὅπλοις δὲ ἐχρῶντο

---

[1] Æ: λέγουσιν. [2] Æ: τὰ πράγματα, als wenn er nicht ἐπιστολήν hätte. [3] Das Eingeklammerte ist die Fortsetzung von σνδ'. Die Art der Einfügung zeigt deutlich, dass die vorhergehenden 3 Cpp. aus einer andern Recension eingeschaltet sind. [4] So nach A. Æ: Καὶ γνωστὸν ἔστω, ὅτι [περὶ] . . [5] So nach A. [6] versus. [7] V: centum milia. A: χιλιάδες οβ'. [8] Von Æ als Eigenname gefasst. [9] So auch A. V: κε'. [10] Richtiger wäre πορείας [V: peregrinationis]. [11] So im Ganzen nach AV. Æ irrig: τὴν μὲν τὸ ὕψος . . . τὴν δὲ πήχεων δύο. [12] Bei Æ steht die bestimmte Münze մնղալ, welche sofort der Drachme gleichgesetzt wird. [13] A wie oben: ἀνὰ παρασάγγας. Æ: Eigenname. [14] A. [15] Bei Æ verschrieben: Παῦτος, Πῶτος.

IV - A

ἀργυραῖς ἀξίναις. σίδηρος καὶ χαλκὸς οὐκ ἦν ἐκεῖ. συνέσει καὶ σοφίᾳ κεκοσμημέναι ἦσαν. Παρεμβολὴν δὲ λαβόντων[1] ἡμῶν παρὰ τὸν ποταμόν — οὐ γὰρ ἦν ἡμῖν ἐκεῖσε διαβαίνειν, ἔνθα αἱ Ἀμαζόνες ᾤκουν, ἦν γὰρ ὁ ποταμὸς μέγας καὶ ἀδιάβατος καὶ ἔχει θηρίων πλῆθος καὶ μελάνων[2] λίθων — αὗται διαβᾶσαι παρετάξαντο ἡμῖν.[3] ‖ 28. καὶ λαβόντες παρ' αὐτῶν φόρους διεπορεύθημεν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν εἰς τὸν στενὸν τόπον.[4] ἐκ τοῦ δεξιοῦ μέρους ἦν ὄρος ὑψηλόν, ἐκ δὲ τοῦ ἀριστεροῦ ἡ θάλασσα προσέκλυζεν.[5] Θύσαντες δὲ τῷ Ποσειδῶνι ἵππους δέκα[6] καὶ ἀναπαυσάμενοι τῇ δευτέρᾳ ἡμέρᾳ ἀναζεύξαντες ‖ ἤλθομεν ἐπὶ τὸν Ἄτλαντα ποταμόν. Ἐκεῖ δὲ ἦν ὁρᾶν οὔτε τὸν οὐρανὸν οὔτε τὴν γῆν. ἦν δὲ ἐκεῖ ἔθνη πολλὰ καὶ παντοδαπὰ οἰκοῦντα. εἴδομεν γὰρ κυνοκεφάλους καὶ ἀκεφάλους ἀνθρώπους, οἵτινες τοὺς ὀφθαλμοὺς[7] εἶχον ἐν τῷ στήθει καὶ τὸ στόμα. ‖ [ἦσαν καὶ] τρωγλοδῦται, οἳ ὑπὸ τῇ γῇ κατῴκουν, ἔθνη ἄγρια. [Εἴδομεν δὲ καὶ νῆσόν τινα]. Ἀπὸ δὲ τοῦ τόπου τούτου[8] ἡ γῆ ἀπεῖχεν ἡμέρας μιᾶς πλοῦν. καὶ πλεύσαντες πρὸς τοῦτον εὕρομεν τὴν Ἡλιούπολιν ‖ — ἐμοὶ δὲ οὕτω δοκεῖ, ὅτι αὕτη ἐστίν, ἣν λέγουσι πόλιν χαλκῆν[9] — ἧς ἦν περίμετρον σταδίων ἑκατὸν καὶ εἴκοσι. πύργοι δὲ ἦσαν ἐν αὐτῇ τεσσαρακαίδεκα[10] χρυσῷ καὶ σμαράγδῳ ᾠκοδομημένοι, ἕκαστος αὐτῶν εἶχεν ἀναβαθμοὺς ἑξήκοντα. [Ἐν μέσῳ δὲ ταύτης ἦν βουνός[11]]. [Ἐπάνω δὲ ἵστατο ἅρμα ἵππιον [ἐκ χρυσοῦ καὶ σμαράγδου, ἰδεῖν δὲ αὐτὰ οὐκ ἦν ῥᾴδιον διὰ τὴν ὁμίχλην. ὁ δὲ ἱερεὺς τοῦ ἡλίου Αἰθίοψ ἦν. [καὶ θύσαντες τῷ ἡλίῳ, ὅτι οὐχ εὕρομεν φῶς, ἀναζεύξαντες ἐπορεύθημεν ἐκεῖθεν. Προηγοῦντο δὲ ἡμῖν κανδηλοφόροι Πέρσαι[12] λαβόντες λαμπάδας ἀργυρᾶς[13] φωτιζούσας. καὶ ἤλθομεν πρὸς Τάναϊν ποταμόν, ὃς καταφέρεται εἰς Ἀσίαν καὶ εἰς Εὐρώπην.[14] Ἐντεῦθεν δὲ ἀναχωρήσαντες ἤλθομεν εἰς τὰ Ξέρξου καὶ εἰς Κύρου[15] βασίλεια. καὶ εὕρομεν καλὰς οἰκίας χρυσοῦ καὶ ἀργύρου γεμούσας καὶ ἐπίσημα ποτήρια πολλὰ καὶ ἄλλα ἱκανὰ καλά. Ἦν δὲ οἶκος μέγας στεγήρης, ἔνθα[16] αὐτὸς ὁ βασιλεὺς εἴθιστο χρησμοὺς παρὰ τῶν θεῶν παραλαμβάνειν, ἐν ᾧ ἔφασαν ὄρνεον ἀνθρωπίνῃ φωνῇ ἑρμηνεῦον [εἶναι]. Ἦν γὰρ ἐν μέσῳ τῆς ὀροφῆς ὀρτυγοτροφεῖον χρυσοῦν, ἐν ᾧ ἦν τὸ ὄρνεον τοῦτο ἡλίκον περιστερά. τοῦτο δὲ ἔφασαν τοῖς βασιλεῦσιν ἑρμηνεύειν ἀνθρωπίνῃ φωνῇ, ὅταν τῶν φωνῶν τῶν προσπιπτουσῶν αὐτῷ ἀκούσῃ. καὶ ἐν αὐτῷ ἔφασαν εἶναι χρόνους πολλούς. Ἠβουλόμην δὲ αὐτὸ καταβιβάζειν, ὅπως ἀποστείλω σοι. ὁ δὲ ἱερεὺς εἶπεν αὐτὸ ἱερὸν[17] εἶναι. Ἐν δὲ τοῖς ἐν Σούσοις[18]* βασιλείοις εὕρομεν κρατῆρα ἀργυροῦν χωροῦντα μετρητὰς τριακοσίους ἑξήκοντα.[19] ὃν ἐμετρήσαμεν ἐν μεγάλῳ δείπνῳ, ἐν ᾧ καὶ τὰ σωτήρια ἐθύσαμεν. F Ἦν καὶ οἶκος μέγας, ἐν ᾧ ἐγέγραπτο ἡ Ξέρξου πρὸς τοὺς Ἀθηναίους ναυμαχία.

= C

= Αὐτ' IV, [illegible] BL

om.

om.

[καὶ ἱππηλάτης Gr. add.

cf. IV.

σπουδαῖα A

om.

[illegible] BLC [illegible]

„ ἔφασαν A

* om.

---

[1] Dem gewöhnl. Gebrauche entspäche արարեալ ποιησάντων. [2] C: μεγάλων. [3] Stimmt nicht zu dem früheren Berichte. [4] So auch A. B: Τένοντα ποταμόν. [5] w: 'anschlagen'. [6] A: πολλούς. [7] V. [8] sc. τῆς νήσου. [9] Diese merkwürdige Beifügung sonst nirgends. [10] A. [11] V: e medio civitatis constructo quodam et congesto in loco. LC: βωμός. [12] V: praevenientes nobis quasdam effigies *numinum* cernere fuit cum luminibus lampadarum. [13] Æ hat noch: ἔχοντες. [14] V: Asiam fertur Europamque discernere. [15] Καύου, Κώου. [16] l. ուր st. որ. [17] So nach V M. Æ hat an Stelle von ἱερὸν ձայնի i. e. φωνῆς, was wohl auf einem Versehen der Herausgg. beruht. [18] Der Name sonst nicht vorhanden. [19] V A.

LB ιβ'

B

B γ', LC ξ'

Γἡμεῖς δὲ δι' ἐπιστολῶν ἐπείσαμεν αὐτὰς ὑποταγῆναι ἡμῖν. add. gr.

ἀκεφάλους C, κυνοκεφάλους B cf. [illegible]

gr.: ἑτέρους δὲ ἄνδρας ἑξάχειρας καὶ ταυροπροσώπους καὶ τρωγλοδύτας καὶ ἱμαντόποδας, ἀγρίους ἀνθρώπους, ἄλλους δὲ δασεῖς ὡς αἶγας καὶ λεοντοπροσώπους, καὶ θηρία πάνυ ποικίλα καὶ διάφορα εἰς ὅρασιν. ἀπὸ δὲ τοῦ ποταμοῦ ἐκείνου ἀποπλεύσαντες ἤλθομεν εἰς νῆσόν τινα μεγάλην ἀπέχουσαν ἀπὸ τῆς γῆς σταδίους ἑκατὸν πεντήκοντα καὶ εὕρομεν ἐκεῖ πόλιν τοῦ ἡλίου..

Lἔχων ἀναβαθμοὺς ἑπτά (= ζ', LC: ξ')

[βυσσὸν καθαρὰν ἐστολισμένος. ἐλάλησεν ἡμῖν βαρβαρικῇ φωνῇ ὥστε ἀναχωρεῖν ἡμᾶς τοῦ τόπου ἐκείνου. καὶ ἀναχωρήσαντες ἐκεῖ δὲν περιεπατήσαμεν ὁδὸν ἡμερῶν ἑπτά. εἶτα εὕρομεν σκότος ἀλλ' οὐδὲ πῦρ ἐφαίνετο τοῖς τόποις ἐκείνοις. ἀναχωρήσαντες οὖν ἐκεῖθεν ἤλθομεν --- Gr. – [illegible] A, [illegible] BLC [illegible].

= A, [illegible]: ὅτι τὴν θυσίαν ἐποιησάμεθα.

F [illegible] BCL.

× λιθοκόλλητος καὶ λύρα ἐναρμόνιος αὐτομάτως κινουμένη· κύκλῳ δὲ ἔκειτο ποτηριοθήκη χρυσῆ ἓξ καὶ δέκα πήχεις ἔχουσα καὶ ἄλλη παρὰ τούτου πηχῶν κζ'. ἀναβαθμοὺς δὲ εἶχε ὀκτώ .. BLC

ἐν ἡμέρᾳ μιᾷ ἑρμηνεύουσιν τὴν ὑπερβάλλουσαν ἀρετήν. Gr.

περιχρήσιμον αὐτῷ ἐμφανίσαι A, – περί τινος θαυμαστοῦ πράγματος, ἐπειδὴ βούλομαι αὐτῷ δεῖξαί τι. BL.

τὰ γὰρ ζῶα τὰ ἀλκιμώτατα ἔφασαν εἶναι τὰ ἔθνη ὑποτεταγμένα τῷ ἀνθρωπίνῳ σώματι Gr.

Ἔκειτο δὲ ἐκεῖ ἐν μέσῳ θρόνος χρυσοῦς× καὶ ἐπάνω αὐτοῦ σκηνὴ χρυσῆ, ἐν ᾗ ἔφασαν χρησμοὺς τῶν θεῶν παραλαμβάνειν τὸν βασιλέα[1], ὅταν πρεσβεία ποθὲν ἔλθῃ. Ἦν δὲ ἐνταῦθα καὶ ἡ Γλαύκου τέχνη[2], ἐναρμόνιος λύρα[3] αὐτομάτως κρουομένη. κύκλῳ δὲ περὶ τὸν θρόνον ἔκειτο ποτηριοθήκη ἓξ καὶ δέκα πήχεων, ἔχουσα ἀναβαθμοὺς δώδεκα. ὑπεράνω δὲ εἱστήκει ἀετὸς χρυσοῦς, ὃς τὰς πτέρυγας αὐτοῦ ἐκπεπταμένας εἶχεν ὑπὲρ τὸν κύκλον τοῦ ὅλου κυλικείου. Ἦν δὲ ἐκεῖ ἀναδενδρὰς ἑπτάκλαδος χρυσήλατος καὶ λευκὴ καὶ κυπάρισσος[4] καὶ μύρτος, πᾶσαι αὗται καλῶς γεγλυμμέναι.[5] Περὶ δὲ τῶν λοιπῶν τί μέλλω σοι γράφειν;[6] τοσαῦτα γὰρ ἦν, ὥστε ἀπὸ τοῦ πλήθους μὴ δύνασθαι ἡμᾶς πάντα ὑπομιμνήσκειν. ἔρρωσο, μῆτερ ἐμή."[7] om.

[illegible] mit an Gr. [illegible] ganz [illegible]

=A

= A, B ὀκτώ.

om.

c. 29 fehlt in A u. L

30 Ταύτης δὲ τῆς ἐπιστολῆς γραφείσης Ὀλυμπιάδι τῇ μητρί, ὄντος αὐτοῦ ἐν Βαβυλῶνι καὶ μέλλοντος μεταλλάττειν τὸν βίον, μεγάλην τινὰ ἐμφανῆ φαντασίαν ἐποίησε τὸ δαιμόνιον καὶ τέρας ἐγένετο οὕτω· Τῶν γὰρ ἐγχωρίων γυνή τις ἔτεκε βρέφος. τὸ ἄνω τοῦ σώματος μέρος μέχρι τοῦ ὀμφαλοῦ εἶχε πάντα ἀνθρώπου κατὰ φύσιν, τὸ δὲ κάτω[8] ἀγρίων θηρίων. Καὶ ἦν ἂν ὅλος ὁ τύπος τῆς μορφῆς ὅμοιος τῇ Σκύλλῃ, εἰ μὴ τῶν θηρίων διαφορᾷ καὶ πλήθει ἀλλοιωθεὶς ἐγένετο. ἦσαν γὰρ αἱ μορφαὶ παρδάλεων καὶ λεόντων καὶ λύκων καὶ συῶν ἀγρίων καὶ κυνῶν. Καὶ τούτων αἱ μορφαὶ ἐκινοῦντο καὶ εὔδηλοι ἐφάνησαν πᾶσι γιγνώσκειν τὸν ἑκάστου τύπον. τὸ δὲ τοῦ παιδίου σῶμα ἦν τεθνηκὸς καὶ πελιδνόν.[9] Ἅμα δὲ τῷ τεκεῖν τὴν γυναῖκα τὸ προειρημένον βρέφος θεῖσα αὐτὸ εἰς τὸν κόλπον καὶ κατακαλύψασα παρεγένετο εἰς τὰ βασίλεια Ἀλεξάνδρου καὶ εἶπε τῷ σωματοφύλακι[10] μηνύειν περὶ αὐτῆς τῷ βασιλεῖ. "Ἔχω γάρ τι περὶ χρησίμων πραγμάτων λέγειν καὶ δεῖξαι αὐτῷ." Ὁ δὲ ἐτύγχανεν ἀναπαυόμενος ἐν τῷ κοιτῶνι αὐτοῦ εἰς μέσον ἡμέρας. Ὡς δὲ ἠγέρθη καὶ παρὰ τοῦ σωματοφύλακος ἤκουσε περὶ τῆς παραγενομένης γυναικός, ἐκέλευσεν εἰσκαλεῖσθαι. Τῆς δὲ εἰσελθούσης ἐκέλευσεν ὁ βασιλεὺς τοὺς παρόντας ἔξω ἰέναι.[11] Καὶ ἐξελθόντων αὐτῶν ἀνοίξασα ἔδειξεν αὐτῷ τὸ γεγεννημένον τέρας φάσκουσα ὅτι αὐτὴ τέτοκεν. Ἰδὼν δὲ τοῦτο ὁ Ἀλέξανδρος ἐθάμβησε μεγάλῳ θαύματι. καὶ τοὺς μάγους καὶ σημειολύτας Χαλδαίους ὁμοῦ καλέσας ἐκέλευσε τὴν ἀνάγνωσιν[12] ποιήσασθαι περὶ αὐτοῦ ἐπαγγειλάμενος[13] αὐτοῖς ἢ ζημίαν ἢ θάνατον, ἐὰν μὴ εἴπωσι τὴν ἀλήθειαν. Ἦσαν δὲ οἱ ἐπισημότατοι καὶ ἐνδοξότατοι καὶ συνετώτατοι τῶν Χαλδαίων⌈ καὶ ὁ μὲν εἷς αὐτῶν κατὰ τὴν τέχνην πολὺ διέφερε πάντων, ὃς ἔτυχεν οὐ συναντῶν. οἱ δὲ παρόντες εἶπον ἰσχυρότατον εἶναι καὶ φοβερώτατον τοῖς πολεμίοις Ἀλέξανδρον καὶ κυριεύειν κατὰ θάλασσαν καὶ κατὰ γῆν. τὰ δὲ ἀλκιμώτατα [καὶ] φοβερώτατα ζῶα, ἃ τῷ ἀνθρωπίνῳ σώματι ὑπέκειτο, ἔφασαν σημαίνειν, τῶν ἰσχυροτάτων αὐτὸν κυριεύειν καὶ οὐδένα ἄλλον αὐτοῦ εἶναι ἰσχυρότερον. Οἱ δὲ τοῦτο

σνθ'.

Anfg. = A, BL anders.

ἔμφασιν AL

= A, τῶν λαγόνων BL

om. Gr.

om. Gr.

περικόλπιον A, ῥακίον

om.

om. – σοφούς τε αλλ. Gr.

om.

⌈πέντε

πάντων τῶν ἐθνῶν Gr. – πάσης γῆς B.

---

[1] l. զթագաւոր. [2] A. Æ: Γαύκου. [3] St. յարմարականք առ որ l. յարմանական քնար որ. [4] Da der Gen. պաւսոյ [սօսոյ λεύκης, πεύκης, πίτυος] unverständlich ist, so dürfte սարոյ zu lesen sein, oder սաւոք αἴγειρος. [5] w: καλ. γλυπταὶ εἰργασμέναι. [6] So nach M. Æ unverständlich: περὶ τούτων γὰρ ἔγραψά σοι. [7] Der Umfang des Briefes wie bei A V. [8] Æ unrichtig: τὰ δὲ κάτω [Acc.] ἀ. θ. [9] V: pars superna humanaque emortua jam et colore atro .. visebatur. [10] M: ἀγγέλῳ. [11] M: ἀποστῆναι. [12] M: σύγκρισιν. [13] A: ἀπειλήσας. M: ἐπαγγειλάμενος.

σημαῖνον gr. εἰπόντες ὁπωσοῦν[1] ἀπηλλάγησαν[2] ἀπ᾽ αὐτοῦ. Μετ᾽ αὐτοὺς δὲ παρεγένετο
ὁ ἕτερος Χαλδαῖος ἐκ τῆς ὁδοῦ[3] πρὸς τὸν βασιλέα. καὶ ἰδὼν τὴν διάθεσιν
παιδίου gr. τοῦ σημείου ἀνεβόησε μεγάλως καὶ τὰ ἱμάτια διέῤῥηξε καὶ σφόδρα δεινοπαθῶν ἐδάκρυεν ἐπὶ τῇ μεταβολῇ, ᾗ ἤμελλε γίγνεσθαι τῷ μεγάλῳ κοσμο-
om. gr. κράτορι. Ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτὸν ἐπὶ τοσοῦτο περιπαθῆ γενόμενον[4]
ἠγωνίασεν οὐ μετρίως καὶ ἐκέλευσε θαῤῥοῦντα λέγειν τὸ τοῦ σημείου ὅραμα. Ὁ δὲ εἶπεν αὐτῷ ταῦτα· "Βασιλεῦ, οὐκέτι εἶ σὺ ἀπὸ τοῦ νῦν ἐν τῇ ζωῇ, ἀλλὰ τὸ σῶμά σου ἀπολέλοιπε τὴν ἀνθρωπίνην φύσιν. τοῦτο γὰρ σημαίνει τὸ θαυμάσιον τέρας." Ὁ δὲ Ἀλέξανδρος ἀπήτησεν αὐτὸν τὸν περὶ τούτου λόγον. Ἀπεκρίθη ὁ σημειολύτης καὶ εἶπεν· "Ὦ γενναι-
κράτιστε βασιλεῦ πάντων ἀνθρώπων gr. ότερε πάντων τῶν ἀνθρώπων, τὸ μὲν σῶμα τὸ ἀνθρώπινον σὺ εἶ, τῶν
δὲ θηρίων αἱ μορφαὶ τὰ στρατεύματα τὰ περὶ σὲ ὄντα. εἰ καὶ τὸ ἀνθρώ- σοί
τὰ ἄνω μέρη gr. πινον μέρος τοῦ σώματος ἔζη καὶ ἐκινεῖτο, καθάπερ τὰ ζῶα τὰ ὑπὸ τούτῳ ὄντα, ἤμελλες ἂν πάντων ἄρχειν. νῦν δὲ τοῦτο, ὃ τέθνηκεν, αὐτὸ[5] τὸ
om. ἄνω μέρος ἐστί, τὰ δὲ θηρία ζῶντα. ὥσπερ οὖν τοῦτο μετηλλάγη[6] ἐκ τοῦ
= A, om. BCL ζῆν, οὕτω καὶ σὺ κεχώρισαι εἰς τοὺς μηκέτι ὄντας. ὃν τρόπον τὰ θηρία τὰ ὑπὸ τῷ ἀνθρωπίνῳ σώματι ὄντα οὔτε τὴν φρόνησιν οὔτε τὸν νοῦν
~~om. gr.~~ οἰκείως[7] ἔχει πρὸς τοὺς ἀνθρώπους, οὕτω καὶ οἱ περὶ σὲ ὄντες οὐ[8] φιλοῦσί σε. πολλαὶ δὲ συγχύσεις[9] ἔσονται ἐπὶ τῆς γῆς σοῦ τελευτήσαντος. καὶ οἱ περὶ σὲ ὄντες ἀλλήλοις προσπεσόντες[10] ἀλλήλους φονεύσουσι." Ταῦτα εἰπὼν ὁ φιλόσοφος ἐξῆλθε, τὸ δὲ βρέφος καῆναι ἀγαθὸν ἡγήσατο ὁ Χαλδαῖος. ×

σξ΄. Ὁ δὲ Ἀλέξανδρος ἀκούσας ταῦτα τὴν ψυχὴν αὐτοῦ πληγεὶς[11] ἐλυπήθη
om. A καὶ εἶπεν· "Ὦ Ζεῦ, τὴν ἐπιβουλὴν ἐπὶ τὸ τέλος ἄγειν[12] δι᾽ ἐμέ. διό, ὅτι
[illegible] = A, ἐμφ. JV. οὕτω σοι ἔδοξε, δέχου κἀμὲ τοιοῦτον θνητόν." Τοῦτο δὲ ἠβούλετο λέγειν· ὅτι καὶ Διόνυσος διὰ τὴν ἐπιφάνειαν τῶν[13] ἔργων τῶν δι᾽ αὐτοῦ κατεργασθέντων[14] ὑπὸ τούτων, οἳ ὑπὸ τῇ ἀρχῇ αὐτοῦ ἦσαν, ἐν τοῖς θεοῖς
in A [illegible] ἠριθμήθη, ὡσαύτως [δὲ καὶ] Ἡρακλῆς, — τὸν αὐτὸν τρόπον ἑαυτὸν ἔκρινεν ἔργων ἀποδεδειγμένων ἐν πάσῃ τῇ οἰκουμένῃ ἄξιον[15] τοῖς θεοῖς σύνδειπνον γίγνεσθαι.

= A σξα΄. Ἡ γὰρ[16] μήτηρ αὐτοῦ Ὀλυμπιὰς πολλάκις ἔγραψεν αὐτῷ περὶ τοῦ Ἀντιπάτρου δεινοπαθοῦσα, ὡς ὑπ᾽ αὐτοῦ σκυβαλιζομένη καίπερ μήτηρ οὖσα 31.
λέγει A Ἀλεξάνδρου.[17] Ποιεῖ[18] δὲ Ἀντίπατρος, ἅτινα βούλεται. καὶ γράφει κατηγορίαν καὶ ὄνειδος περὶ αὐτῆς[19]. διὰ ταῦτα πάλιν εἰποῦσα Ὀλυμπιὰς εἰς

---

[1] w: ὅπως καὶ ἦν. Soll wohl heissen: qualicunque modo discesserunt. [2] Von Æ wohl = 'liberati sunt' gefasst. [3] A: ἀποδημίας. [4] w: πληγέντα πάθεσι. [5] Nach Æ wäre αὐτὸ hinter τοῦτο zu stellen. [6] M: μετέστη. [7] 'freundlich'. [8] Die unentbehrl. Negation fehlt bei Æ. [9] A: συγκλεισμός [!]. [10] 'anfallen'. [11] V: animo consternatus. [12] St. des Partic. wird nach A der Inf. ածել zu lesen und dieser imperativisch zu fassen sein. Zu ἐλυπήθη würde besser ein Ausruf passen: 'Wie traurig, dass ich grade durch Nachstellung sterben muss!' [13] Æ irrig: κακῶν ἔργων. [14] w: συμβεβηκότων. [15] l. nach ἄξιον von A արժանի st. ամենայն. [16] A: δέ. [17] Dies scheint mir der urspr. beabsichtigte Sinn zu sein. Æ: δεινοπαθοῦσα ἐσκυβαλίσθη, ὅτι μήτηρ ἦν Ἀλεξάνδρου. Unsinnig A: σκυβαλίζεται μήτηρ οὖσα ἀνθρώπου. St. խոտորեալ πλανηθεῖσα ist m. E. խոտեցեալ zu lesen, welches mit անարգէր den Begriff des σκυβαλίζεσθαι ausdrückt. [18] Er kümmert sich nicht um die Klagen der Ol. und thut, was er will. [19] Gut A: καταγράφει αὐτῆς τὴν ἀτοπίαν [Wunderlichkeit, Verkehrtheit].

οὐκέτι συγκρίνῃ τοῖς ζῶσι BCL – οὐκέτι συνετοὶ (σὺ τοῖς M.) ζῶσι καταρίθμητοι (καταρίθμητος εἶ)· ἀλλὰ τὸ σῶμά σου λέλυται τῇ ἀνθρωπίνῃ φύσει A.

εὐάρμοστον ἦν καὶ ἀγαθὸν τὸ σημεῖον AC – desiderantur in BL

ἀλλὰ καὶ ἄγρια τυγχάνουσι πρὸς τοὺς ἀνθρώπους gr.
ἀγρίως διάκεινται πρός σε gr. – [illegible], die in BLC übr. fehlt, in A [illegible] Worte:
ὅτε δὲ πολλοῖς (πολὺς αὐτοῖς ? M.) συγκλεισμός σοι (σου ? M.) κατὰ τὴν οἰκουμένην [ὄντος M.] σοῦ [δὲ M.] τελευτήσαντος τῶν περὶ σὲ διενεγκάντων (οἱ π. σ. δ. M.) τὰ περὶ αὐτοὺς φώνουν (φονεύσουσι ? M.).
× καὶ ταῦτα ἀκούσας Ἀλ. τὰ καθ᾽ ἑαυτοῦ διετύπου πράγματα καθ᾽ ἡμέρας BCL – [illegible] c. 160 [illegible] in A.

A: τῆς δὲ μητρὸς αὐτοῦ Ὀλυμπιάδος πλεονάκις γραφούσης περὶ τοῦ Ἀντιπάτρου καὶ δεινοπαθούσης σκυβαλίζεται μήτηρ οὖσα ἀνθρώπου. καὶ λέγει μὲν Ἀντίπατρος ἃ βούλεται. καταγράφει γὰρ αὐτῆς τὴν ἀτοπίαν καὶ διὰ ταῦτα πάλιν ([illegible]) εἰς

B: τοῦ δὲ Ἀντιπάτρου ἐπαναστάντος Ὀλυμπιάδι τῇ μητρὶ Ἀλεξάνδρου ἐποίησεν εἰς αὐτὴν ἅπερ ἐβούλετο. καὶ τῆς μητρὸς Ἀλεξάνδρου πλεονάκις γραφούσης αὐτῷ περὶ Ἀντιπάτρου (ἤχθετο γὰρ ὡς μήτηρ περὶ Ἀλεξάνδρου) καὶ βουλομένης αὐτῆς διελθεῖν εἰς

A: Ἤπειρον διαδραμεῖν ἐβούλετο. Ἀλέξανδρος δὲ διαγνοὺς τὴν ἐνεστῶσαν πρὸς τὴν μητέρα Ἀντιπάτρου λῦσαι ἔχθραν καὶ μεταπέμψασθαι τὸν Ἀντίπατρον, πρὸς αὐτὴν εἰς Μακεδονίαν ἀπέστειλε Κρατερόν. αἰσθόμενος οὖν Ἀντίπατρος τὴν ἐπίνοιαν Ἀλεξάνδρου τῆς στρατιωτικῆς λειτουργίας, ἐπεβούλευεν αὐτῷ φόνον εὐλαβούμενος μήποτε ἐς προπηλακισμὸν ἔλθῃ

BCL: τὴν Ἤπειρον διεκώλυσεν αὐτὴν ὁ Ἀντ. τοῦ δὲ Ἀλ. δεξαμένου τὰ γράμματα Ὀλυμπιάδος τῆς μητρὸς αὐτοῦ καὶ γνοὺς δι' αὐτῶν τὴν ἐνεστηκυῖαν τῇ μητρὶ αὐτοῦ λύπην ἀπέστειλε πρὸς τὸν Ἀντ. Κρατερὸν τοὔνομα εἰς Μακεδονίαν ἐπιμελητὴν αὐτῆς γενόμενον. αἰσθόμενος δὲ Ἀντ. τὴν ἐπίνοιαν Ἀλεξάνδρου καὶ τὴν ἄφιξιν Κρατεροῦ καὶ εἰδὼς τοὺς στρατιώτας ἀνακομιζομένους ἀπὸ Ἀλεξάνδρου εἰς Μακεδονίαν καὶ Θεσσαλίαν, ἕνεκεν τούτου ἐφοβήθη λίαν καὶ ἦλθεν εἰς δολοφονίαν Ἀλεξάνδρου φοβούμενος περὶ ὧν ἐπέγραψεν εἰς Ὀλυμπιάδα μήποτε εἰς παραφυλακισμὸν ἔλθῃ (καὶ κακῶς τιμωρηθήσεται C).

× [illegible] – (A [illegible]).
διετάξαντο οὖν εἰς ἑαυτοὺς πῶς δώσουσι τῷ Ἀλ. τὸ φάρμακον πιεῖν. τοῦ δὲ Ἀλεξάνδρου ἀναπαυσαμένου ἐν μιᾷ τῶν ἡμερῶν καὶ ἀπὸ δείπνου μεγάλου γενομένου προσῆλθεν αὐτῷ τῇ ἐπαύριον Μήδιος ἀξιῶν αὐτὸν εἰσελθεῖν εἰς τὴν οἰκίαν αὐτοῦ. καὶ πεισθεὶς Ἀλ. τῇ τοῦ Μηδίου δεήσει ἦλθεν ἐπὶ τὸ δεῖπνον αὐτοῦ. συνανεκλίθησαν δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ τινές.

[illegible] A [illegible]: 1) Περδίκκας, 2) Δι… ανος, 3) Πύθων, 4) Λεοννάτος, 5) Κα….. σανδρος 6) Πύθεστος (Πευκέστης M.)
7) Πτολεμαῖος, 8) Λυσίμαχος, 9) Φίλιππος 12) ὁ ἰατρός, 10) Νέαρχος, 11) Κριτίας, 12) .. άνωρ, 13) Ἡρακλείδης, 14) Εὐρ.. πιος.×
15) Ἀρίστων Φαρσάλιος, 16) Φιλ…. ιππος δ μηχανικός, 17) Φιλώτας – [illegible]

× Εὐρυστιαῖος [illegible]

τὴν Ἤπειρον[1] γῆν ἠβούλετο διελθεῖν. Ἀλέξανδρος δὲ[2] διέγνω[3] τὴν πρὸς τὴν μητέρα γενομένην Ἀντιπάτρου ἔχθραν λῦσαι καὶ μετεπέμψατο τὸν Ἀντίπατρον ἐκ Μακεδονίας πρὸς ἑαυτὸν ἀποστείλας τὸν Κρατερόν. Αἰσθόμενος[4] δὲ Ἀντίπατρος τὴν ἐπίνοιαν Ἀλεξάνδρου τῆς στρατιωτικῆς λειτουργίας[5] ἐπεβούλευε φόνον τῷ κοσμοκράτορι εὐλαβούμενος, μὴ εἰς προπηλακισμὸν ἔλθῃ.[6] Ἀκούσας γὰρ ἐνεθυμήθη καὶ ἐλογίσατο Ἀλεξάνδρου[7] πολὺ αὐξηθεῖσαν ὑπερηφανίαν διὰ τὰς πράξεις[8] τὰς συμβεβηκυίας αὐτῷ τῇ ἐνεργείᾳ. καὶ πέμψας ἤνεγκε τοξικὸν[9] φάρμακον, οὗ τὴν δύναμιν ᾔδει πάνυ χαλεπὴν εἶναι, καὶ ἔβαλεν εἰς ἡμιόνου ὁπλὴν[10] περικαθάψας πρὸς τὸ δύνασθαι ὁλόκληρον φυλάσσειν τὸ πλῆθος τοῦ φαρμάκου. ἄλλο γὰρ ἀγγεῖον οὔτε χαλκοῦν οὔτε κεράμιον οὐχ ὑπέμεινε φέρειν τὴν δύναμιν τοῦ φαρμάκου, ἀλλὰ εὐθέως ἐρρήγνυτο. καὶ θεὶς αὐτὸ εἰς σιδηρᾶν πυξίδα ἔδωκε Κασάνδρῳ [εἰς Βαβυλῶνα κομίζειν καὶ ἐκέλευσεν αὐτὸν] λόγῳ λαλεῖν[11] σὺν Ἰόλλᾳ τῷ ἀδελφῷ περὶ τοῦ τὸ φάρμακον διδόναι.[12]

om. BL

f. Müller [illegible]: [illegible] in cod. A [illegible]

ἄττε ξύλινον add. BCL

τῷ ἰδίῳ υἱῷ

τῷ πιγκέρνῃ Müller; ἐπικέρνῃ BCL, ἀρχιοινοχόῳ A.

υἱὸς Ἀντιπ. gr.

σξβ'. Ἀφικόμενος δὲ ὁ Κάσανδρος εἰς Βαβυλῶνα εὗρε τὸν Ἀλέξανδρον θύοντα καὶ ξένους ἀποδεχόμενον. Συνελάλησεν Ἰόλλᾳ τῷ ἀρχιοινοχόῳ[13] Ἀλεξάνδρου. Ἔτυχε δὲ Ἰόλλας πρὸ ὀλίγων ἡμερῶν ὑπ' Ἀλεξάνδρου πληγεὶς τὴν κεφαλὴν διὰ ἀταξίαν τινά.[14] διὸ ὁ παῖς ὀργίλος ὢν μετὰ χαρᾶς [ὑπ]ήκουσε ποιεῖν τὸ παρανόμημα. καὶ ἔλαβε βοηθὸν αὐτοῦ Μήδιον[15] Θεσσαλονικέα, ὃς ἦν Ἀλεξάνδρου φίλος καὶ αὐτοῦ[16] ἐραστής. ὁ δὲ ἀδίκημα ἄτοπον ᾤετο Ἰόλλαν πλήττεσθαι. ἐθέλων ὑπέσχετο αὐτῷ, ἵνα αὐτῷ δῶσι τὸ φάρμακον πιεῖν.

om. gr.

ὅτε ἐν λύπῃ γενόμενος πρὸς Ἀλ. – add. gr.

om. gr.

×

σξγ'. Ὁ δὲ Ἀλέξανδρος ἐν χαρᾷ ἐγένετο μετὰ τῶν πλησίον φίλων καὶ τῶν Διονυσιακῶν τεχνιτῶν.[17] πολλοὶ γὰρ ἐν Βαβυλῶνι κατέστησαν εἰς τὸν ἀγῶνα Ἀλεξάνδρου στεφανοῦσθαι, καὶ κατ' ἰδίαν εἰς τὸν ἀγῶνα ἰόντος διὰ τὴν ἐπιφανῆ δόξαν περιχαροῦς γενομένου τοῦ βασιλέως.

σξδ'. Ἔπειτα δὲ ἀναστάντος [αὐτοῦ καὶ] βουλομένου ἀναπαύεσθαι, προσῆλθεν αὐτῷ Μήδιος ἀξιῶν αὐτὸν εἰσελθεῖν πρὸς τοὺς φίλους αὐτοῦ λέγων αὐτῷ· "Ἠθροισμένοι εἰσὶν[18] οἱ ἀναγκαῖοι φίλοι σου καὶ μένουσί σε." Οὕτως αὐτοῦ λαλήσαντος ἐπείσθη Ἀλέξανδρος τῇ Μηδίου ἐπιβουλῇ [καὶ] ἦλθεν εἰς τὸ συμπόσιον.

σξε'. Ἦσαν δὲ οἱ παρόντες εἴκοσι· 1) Περδίκκας, 2) Μελέαγρος, 3) Πείθων, 4) Λεοννάτος, 5) Κάσανδρος, 6) Πευκέστης, 7) Πτολεμαῖος, 8) Λυσίμαχος, 9) Φίλιππος, 10) Ὀλκίας, 11) Εὐμένης,

Πύθων [illegible] A [illegible]

Πυθέστης

Ξ[illegible] ἰατρός M.

---

[1] Der Übersetzer hat unrichtig ἄπειρος st. ἤπειρος [Asien] wiedergegeben, wie er auch fälschlich ἠβ. διελθεῖν Ἀλέξανδρος verbunden hat. Auch V unrichtig: petebatque (Olympias), ut ob id ipsum ad Epirum ire contenderet.
[2] Æ: γάρ. [3] 'beschloss'. Æ nur: ἔγνω. [4] l. զգացեալ st. զգեցեալ.
[5] St. des überlief. Accus. ist nach A der Gen. zu lesen. 'Ant. erkannte, dass das Erfordernis des Dienstes, wie Alex. die Abberufung motiviert haben mochte, nur ein Vorgeben, ein Kunstgriff sei.' [6] So gebe ich nach A. Æ: μὴ προπηλακισμοὶ ἔλθωσιν αὐτῷ. [7] Æ: περὶ 'A. [8] l. Plur. [9] Im Text բոքսական — Schreib- oder Druckfehler für դոքսական [տոքսական].
[10] Oder πυξίδα, sofern nach Hesych. ὁπλή = πυξίς. St. ձեղաման lag urspr. viell. եղնգունք vor. Vgl. Arrian. Exped. VII 27, 1. [11] Æ: λ. λαλήσας.
[12] Arrian. Exp. VII 27, 2. [13] oder οἰνοχόῳ. [14] M: πταίσαντος Ἰόλλου.
[15] Hier zwar Μάνδιον geschrieben, doch in den folg. Cpp. richtig. [16] sc. Ἰόλλου. [17] μουσικῶν, αὐλητῶν. [18] πάρεισιν.

12) Φίλιππος ὁ ἰατρός, 13) Νέαρχος ὁ Κρής[1], 14) Ἡρακλείδης, 15) Εὐροππαῖος, 16) Ἀρίστων Φαρσάλιος[2], 17) Φίλιππος ὁ μηχανικός, 18) Φιλώτας, 19) Μένανδρος, 20) Δάρδανος.[3] Τούτων τὸ μέλλον γίγνεσθαι[4] Περδίκκας καὶ Πτολεμαῖος, Ὀλκίας καὶ Λυσίμαχος, Εὐμένης καὶ Κάσανδρος οὐκ ᾔδεισαν. οἱ δὲ ἄλλοι πάντες ἐκοινώνουν[5] τῆς πράξεως καὶ συμπεφωνηκότες ἦσαν Ἰόλλᾳ Γ ~~καὶ Κασάνδρῳ~~ καὶ δεδωκότες om ὅρκους. ἐπεθύμουν γὰρ τῶν χρημάτων καὶ πραγμάτων[6] καὶ ἀπὸ Ἀλεξάνδρου εὐλαβοῦντο καὶ τῇ τῶν ψυχῶν αὐτῶν[7] ὑπερόγκῳ ὑπερηφανίᾳ ἐληλαμένοι ἦσαν.

Γτῷ οἰνοχόῳ τοῦ βασιλέως Ἀλεξάνδρου add. Gr.

σξθ΄. Ἀνακλιθέντος τοῦ βασιλέως προσήνεγκεν αὐτῷ Ἰόλλας τὸ ποτήριον. Γ καὶ ἔπειτα οὕτως οἱ παρόντες λόγον ἐνέβαλον ἕνεκα τοῦ μακρὰν διατριβὴν τῶν πινόντων εἶναι εἰς πολὺν χρόνον περισπαστικῶς. Ἐξαίφνης Ἀλέξανδρος ἀνεβόησεν ὡς τόξῳ πληγεὶς τὸ ἧπαρ. μικρὸν δὲ χρόνον ἐπισχὼν[8] καὶ τὴν ὀδύνην ἐγκαρτερήσας ἀπῄει πρὸς ἑαυτὸν ἐντειλάμενος τοῖς παροῦσι πιεῖν. ‖ 32. Οἱ δὲ σφόδρα ἀγωνιάσαντες διέλυσαν παραχρῆμα τὸ συμπόσιον καὶ ἔξωθεν γενόμενοι[9] ἀπεκαραδόκουν τὸ συμβησόμενον. Ὁ δὲ Ἀλέξανδρος ἀναστραφεὶς βουλόμενος τὸν πλεῖστον οἶνον [ἐρεύγεσθαι][10] ᾔτησε πτέρυγα. εἰώθει γὰρ οὕτω ποιεῖν. καὶ Ἰόλλας μολύνας φαρμάκῳ παρεῖχεν αὐτῷ. ὅθεν καὶ μᾶλλον ἐνίκησε τὸ φάρμακον ἀκρατέστερον διὰ τοῦ σώματος μεμιγμένον καὶ κεχρουμένον, καὶ διασπασθεὶς[11] μάτην ἐρευγόμενος θαυμαστῷ[12] ἄλγει τὴν νύκτα πᾶσαν διῆγεν ἀλγεινῶς[13] μετὰ στεναγμῶν καὶ ἐγκαρτερήσας ὑπομονῇ.

ἐπὶ δείπνῳ μένειν Gr.

A hat keine [illegible] — [illegible] in BLC [illegible]

cf. Syr. p. 136

σξζ΄. Τῇ δὲ ἑτέρᾳ ἡμέρᾳ γνοὺς περὶ ἑαυτοῦ τὴν κακὴν ἀπόβασιν[14] καὶ λαλῶν ἄδηλα καὶ ἀσαφῆ, ὅτι ἡ γλῶσσα ἤδη εὐθὺς ἐσκληρώθη, ἐξέβαλε πάντας, εἰ δύναιτο ἥσυχος εἶναι καὶ κατ᾽ ἰδίαν λαλεῖν, περὶ ὧν ἂν βούλοιτο. Κάσανδρος δὲ συμφωνῶν τῷ ἀδελφῷ ἐν τῇ νυκτὶ παρεγένετο εἰς πάντα τὰ ποτήρια αὐτοῦ ἐνεγκὼν[15] [φάρμακον] Ἰόλλᾳ μετὰ παῤῥησίας. συνθήκη γὰρ συνέκειτο πρὸς Ἰόλλαν [ὅτι] τελευτήσαντος τοῦ βασιλέως ἐλευθεροῦται πάσης δυσχερείας. καὶ δοῦλον τῆς θηλαζούσης ἔπεμψεν εἰς Μακεδονίαν πρὸς τὸν πατέρα[16] σημείοις γράψας πρὸς αὐτόν, ὡς τὸ ἔργον ἐτελέσθη.

σξη΄. Ὁ δὲ Ἀλέξανδρος νυκτὸς γενομένης ἐκέλευσε πάντας ἐκ τοῦ οἴκου ἐξιέναι. σὺν οἷς καὶ Κομβάφην[17] καὶ Ῥωξάνην τὴν ἑαυτοῦ γυναῖκα ἐξέπεμψεν. Ἐκ δὲ τοῦ οἴκου πύλῃ[18] τις ἐξῆγεν ἐπὶ τὸν καλούμενον Εὐφράτην

cf. Syr.

---

[1] ὁ Κρής verm. Verlesung. A: Κριτίας [?] [2] Ph. von Æ als besondere Person aufgeführt. [3] Vgl. die Liste von A. [4] l. լինել st. գիտել. [5] M: μετειλήφεισαν. [6] M nur πραγμάτων. [7] Æ: αὐτοῦ. [8] 'an sich halten'. [9] եղեալ ist umzustellen. [10] Offenb. fehlt ein Verbum. Ich habe nach dem Syr. ergänzt: '.. dachte er, er könne vielleicht infolge des Übermasses dessen, was er getrunken hatte, von dem Schmerz befallen worden sein; und er nahm Vogelfedern und steckte sie in die Gurgel, weil er gewöhnt war, manchmal dies zu thun' [Ry.]. [11] St. ծաղքեալ [Varr. ծակեալ, քակտեալ] wird ձեղքեալ zu lesen und dies mit θαυμ. ἄλγει zu verbinden sein. [12] od. παραδόξῳ. [13] Æ: ἀλγεινός. [14] 'den schlimmen Ausgang'. [15] Nach Var. տարեալ st. der Recepta տանել φέρειν. [16] So gebe ich nach einer [nicht weiter bezeichneten] Hds. statt der unverständl. Recepta: καὶ τοῦτον τῇ θηλαζούσῃ ἔπεμψεν εἰς Μακ. Auch Syr.: 'da schrieb Cas. nach Mac. an seinen Vater'. [17] Im folg. Cp. Κόμβαφον. [18] l. զուռն տանէր od. զդրունք տանէին.

ἵνα διὰ τῆς κακοτέχνου ἐνέδρας ἀπαλλάξωσι τοῦ ζῆν τὸν βασιλέα Ἀλέξανδρον. ἐπεθύμουν γὰρ οἱ παράνομοι τὸν θάνατον Ἀλεξάνδρου ἰδεῖν, ὥστε κατασχεῖν τῶν πραγμάτων αὐτοῦ. AC.

Gr.: ἄδολον· λόγου δὲ προσπεσόντος διατριβῆς ἕνεκεν καὶ διεληλυθότος ἱκανοῦ χρόνου ἐπέδωκε ὁ Ἰόλλας ἕτερον ποτήριον ἔχον τὸ φάρμακον. δεξάμενος δὲ Ἀλ. δυστυχίᾳ καὶ πιὼν ἐξαίφνης....

Γαλλ. Α: τὸν ὅρκον ὑπομείνας Πτολεμαῖος καὶ εὐδομίαν ἔννοιαν ἔχων ὑπὲρ ὧν ὁ Περδίκκας ὑπενόει, καὶ αὐτὸς [νομ]ίζ[ων] τὸν Περδίκκαν διάδοχον εἶναι τῶν πραγμάτων διὰ τὸ πολὺ πρότερον παρ' Ἀλεξάνδρῳ [πρὸ] πάντων κατὰ ἀνδρείαν καὶ ὄνησιν ἡγεῖσθαι, ὁρκίζει αὐτὸν τὸν αὐτὸν ὅρκον ἐν μέρει. ὁ δὲ Ἀλ. ἐκείνην τὴν ἡμέραν καὶ τὴν ἐπιγενομένην νύκτα γενόμενος πρὸς τὸ γραφῆναι ἐκέλευσε πρὸς αὐτὸν καλεῖν τὸν Περδίκκαν καὶ Ὀλκίαν καὶ Πτολεμαῖον καὶ Λυσίμαχον. αὐτοὶ μὲν εἰσῆλθον – –

εἰσάγειν δὲ μόνους Μακεδόνας Gr.

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА БЕОГРАД

ποταμόν, ὃς διὰ μέσης τῆς Βαβυλῶνος διαπερᾷ. [Ταύτην] ἐκέλευσεν ἀνοῖξαι καὶ μηδένα εἶναι περὶ τοὺς τόπους, ὃν τρόπον εἰώθεσαν πρότερον φυλάσσειν. Μεσονυκτίου δὲ γενομένου ἐξαναστὰς ἐκ τῆς κλίνης ἀφεῖλε τὸν λύχνον. καὶ ἐξελθὼν τετραποδιστὶ ἐπορεύετο πρὸς τὸν ποταμόν.[1] καὶ εἶδε τὴν γυναῖκα αὐτοῦ Ῥωξάνην προστρέχουσαν αὐτῷ. καὶ διενοεῖτο καὶ ἐπεχείρει τι ποιεῖν ἄξιον τῆς ἑαυτοῦ τόλμης. [Ῥωξάνη δὲ] ἐπηκολούθει τὴν τοῦ τέλους[2] ἔξοδον[3] αὐτοῦ ἐν τῷ σκότῳ. καὶ ὁ στεναγμὸς[4] Ἀλεξάνδρου σπανίως ἀναφωνοῦντος ἐκάλει καὶ ὡδήγει τὸν στεναγμὸν Ῥωξάνης. ὁ δὲ ἡσυχάσας ἐπαύσατο. αὐτὴ δὲ ἡ γυνὴ περιπλακεῖσα αὐτῷ ἔφη· "Καταλείπεις ἐμέ, Ἀλέξανδρε, σεαυτὸν εἰς θάνατον δούς;" Ὁ δὲ εἶπεν· "Ὦ Ῥωξάνη, μικρὰ χάρις ἐστί σοι τὴν ἐμὴν δόξαν ἀφαιρεῖσθαι φθόνῳ.[5] πλὴν ὅμως ταῦτα μηδεὶς ἀκούσῃ." Καὶ πάλιν ὑπὸ τῆς Ῥωξάνης κατεχόμενος ἐπανῆλθεν εἰς τὸν οἶκον.

Ἡμέρας δὲ γενομένης ἐκέλευσε Περδίκκαν καὶ Πτολεμαῖον καὶ Λυσίμαχον σξθ'.
εἰσελθεῖν. εἶπεν αὐτοῖς, ὅπως ἄλλος μὴ εἰσπορευθῇ πρὸς αὐτόν, μέχρις ἂν διαθήκην γράψῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων. Οἱ δὲ ἐξῆλθον. Διαθηκογράφους[6] δὲ παρεκαθίσατο ἑαυτῷ Κόμβαφον καὶ Ἑρμογένην, ἄνηβα παιδάρια. Ὁ δὲ Περδίκκας ὑπονοήσας τὸν Ἀλέξανδρον καταλείπειν τὰ πράγματα αὐτοῦ πάντα τῷ Πτολεμαίῳ διὰ τὸ πολλάκις πρὸς αὐτὸν λαλεῖν περὶ τῆς Πτολεμαίου εὐτυχοῦς γενέσεως — ἔτι δὲ καὶ Ὀλυμπιὰς φανερὸν ἐποίησεν, ὡς ἦν ἐκ Φιλίππου — λαβὼν τὸν Πτολεμαῖον καταμόνας ἐξορκίζει, εἰ γένοιτο Ἀλεξάνδρου πραγμάτων διάδοχος, μερίζειν τὰ πράγματα αὐτοῦ. ⌈ Νυκτὸς δὲ γενομένης ἤρξαντο γράφειν οἱ γραμματεῖς.[7] Ὁ δὲ βασιλεὺς ἐκέλευσε πρὸς αὐτὸν καλεῖν Περδίκκαν καὶ Λουκίαν[8] καὶ Πτολεμαῖον καὶ Λυσίμαχον. οἱ δὲ εἰσῆλθον εἰς τὰ βασίλεια.

Ἐξαίφνης δὲ ἐκ πάντων τῶν Μακεδόνων ἐγένετο βοὴ ἰσχυρά. καὶ συν- σο'.
δραμόντες εἰς τὸ παλάτιον ἔλεγον, ὅτι ἀναιροῦνται οἱ σωματοφύλακες[9], ἐὰν μὴ δείξωσι τὸν βασιλέα αὐτοῖς. Τοῦ δὲ Ἀλεξάνδρου ἀκούσαντος[10] τοῦ θορύβου ἦλθε Πτολεμαῖος καὶ ἐδίδαξεν αὐτόν, ὅ τι ἔλεγον οἱ Μακεδόνες. Προσέταξε τὴν κλίνην ἐπαρθῆναι καὶ τεθῆναι ἐν τόπῳ, ἐν ᾧ τὸ στράτευμα διαπορευόμενον[11] δύναιτο ὁρᾶν αὐτόν, τοὺς δὲ στρατηγοὺς μονοχίτωνας[12] εἰσάγειν καὶ δι' ἑτέρας θύρας ἐξάγειν, ὅπως μὴ συνάπτοντες ἐμπέσωσιν ἀλλήλοις.[13] / Εἰσῆλθον οἱ Μακεδόνες καὶ παρεπορεύοντο αὐτὸν καὶ ἐθάρ-

Περδίκκας ABL, Ἀντίοχος C

om.

ποιήσαντος δὲ τοῦ Περδίκκου τὰ προσταχθέντα ὑπὸ Ἀλ. τοῦ βασιλέως ἀλλ. Gr.

---

[1] In einer Hds. hier eine in den griech. Texten nicht vorkommende Var.: 'καὶ βλέψας πρὸς τὸν οὐρανὸν καὶ ἀτενίσας στενάζων εἶπεν· Εἴ που εἶ, ὦ θεός, ὃς τοῦ θανάτου καὶ τοῦ βίου δύναμιν ἔχεις, βοήθησόν μοι ἐν τῇ θλίψει. Καὶ ταῦτα εἰπὼν ἐσιώπησεν ἐπαύσατο. καὶ ὀλίγον ἔληγε τῶν ὀδυνῶν. [2] Möglich, dass Æ auch κορυφή [A] gelesen hat, da die arm. Worte für κορυφῆς und τέλους einander sehr nahe stehen [կատար[ած]ի]. [3] Ich habe den von A dargebotenen Accus. wiedergegeben, da auch Æ — abweichend von der gewöhnlichen Construction — den Acc. hat. [4] Æ mit A irrig: τὸν στεναγμόν. [5] Der offenbar verderbte Text ist m. E. so zu emendieren: փոքր շնորհ է քեզ զիմ փառս բառնալ քինու. Vgl. Arrian. Exp. VII 26 ἐφθόνησε. [6] M: ὑπομνηματογράφος. [7] A giebt hier mehr. [8] A: Ὀλκίαν. [9] l. սպանանին mit Weglassung von զնա. M: ἐπὶ τὸ ἀνελεῖν τοὺς σωματοφ. [10] Besser M: πυνθανομένου περὶ.. [11] auch παραπορευόμενον. [12] d. h. ἀόπλους. M: εἰσάγειν δὲ μόνους Μακεδόνας καὶ ... [13] Der Nebensatz fehlt sonst.

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА * БЕОГРАД *

συναν[1] αὐτόν. οὐδεὶς δὲ ἦν, ὃς οὐκ ἐδάκρυσεν ἐπὶ τοῖς πράγμασι τοῖς τηλικούτῳ καὶ κοσμοκράτορι βασιλεῖ γεγονόσιν.[2]

σοα'. Πευκαλῶος[3] δέ τις ἀνὴρ ἐξ αὐτῶν, τῷ μὲν εἴδει οὐκ ἀπρεπής[4], ἰδιώτης δὲ ὢν καὶ οὐδεμιᾶς τάξεως ἡγεμονίαν ἔχων[5], πλησίον ἑστὼς πρὸς τὸν αὐτοκράτορα εἶπεν· "Ἀλέξανδρε, Φίλιππος ὁ πατήρ σου ἦρξε τῶν Μακεδόνων ἐπ' ἀγαθῷ. καὶ σύ[6] — μεταλλάξας τὴν φωνὴν εἶπε Μακεδονιστὶ δακρύων — σὺ ἤδη ἀπολείπεις ἡμᾶς. ἀπώλετο καὶ πᾶσα ἡ Μακεδονία σοῦ τελευτῶντος.[7] καλόν ἐστιν ἡμῖν[8] πᾶσι τοῖς Μακεδόσι συναποθανεῖν σοι τῷ ποιήσαντι τὴν πατρίδα σου ἀξίαν Διός." Ὁ δὲ Ἀλέξανδρος δακρύσας ἐξέτεινε τὴν δεξιὰν αὐτοῦ χεῖρα, περιέλαβε τὴν χεῖρα τοῦ Μακεδόνος καὶ ἔμφασιν[9] ἐποιεῖτο παρακλήσεως. || Ἐπειδὴ[10] [δὲ] παρῆλθον οἱ Μακεδόνες, πάλιν ἐξέβαλε τὸν Περδίκκαν. καὶ Ὀλκίαν ἐκέλευσεν ἀναγιγνώσκειν τὴν διαθήκην, ἣν ἐκέλευσε γράφειν αὐτοῦ τῇ νουνεχεῖ καὶ νοήμονι σοφίᾳ. ἐστὶ δὲ τῆς διαθήκης ἀντίγραφον τοιοῦτο·[11] [illegible]: Διαθήκη Ἀλεξάνδρου

ut ibi saepe ἐπ' ἀγαθῷ δὲ αὐτ. [illegible], τηλ. A

ζῇς κτλ.

[illegible] A.

33

om. σοβ'. "Βασιλεὺς αὐτοκράτωρ Ἀλέξανδρος, υἱὸς Ἄμμωνος καὶ Ὀλυμπιάδος Ῥοδίων ἡγεμόσιν, ἄρχουσι, βουληφόρῳ δήμῳ χαίρειν. Ἡμεῖς[12] τὰς Ἡρακλέους τοῦ προγόνου ἡμῶν στήλας ὅρους θέντες τοῦ πεπρωμένου διὰ τῶν θεῶν, καὶ εὐνοίας τυγχάνειν θελήσαντες δίκαιον ἐκρίναμεν ὑμῖν ἐπιστεῖλαι, ἅπερ ἐγνώκαμεν, ἡγούμενοι μάλιστα ὑμᾶς τῶν Ἑλλήνων ἐπιτηδείους φύλακας τῶν ὑπ' ἐμοῦ κατειργασμένων. τὸ δὲ δεύτερον ἅμα, ὅτι καὶ ἀγαπῶ τὴν πόλιν ὑμῶν. διὸ γράφω[13] τοὺς φύλακας ἐξαγαγεῖν τῆς ὑμετέρας πόλεως, ὅπως παρρησίας τυχοῦσα διαφυλάττῃ τὴν ἐλευθερίαν. ἅμα δὲ καὶ βουλόμεθα διαφυλαχθῆναι παρ' ὑμῖν τὸ ἡμέτερον τίμιόν τι. Οἴδαμεν γὰρ τὴν πόλιν ὑμῶν εὐεργέτιν[14] καὶ μνήμης ἀξίαν οὖσαν. διὸ φανησόμεθα φροντίζειν[15] αὐτῆς οὐχ ἧσσον[16] τῆς ἡμετέρας πατρίδος καὶ [ὡς] ἡμῖν ἀξίας. Δεδώκαμεν[17] μετὰ παρρησίας τὰς χώρας εἰς χεῖρας ἑκάστῳ, ἀρχόμενοι πρῶτον ἀφ' ἧς γεννηθέντες εἰς τοῦτο προήλθομεν δόξης.[18] Καὶ παρηγγέλκαμεν τοῖς ἐπιμεληταῖς βασιλεῦσι, πρώτιστα ἀποστεῖλαι ἀπὸ τῆς στρατιᾶς νομίσματα χρυσοῦ τάλαντα χίλια εἰς τὰ τῶν Αἰγυπτίων ἱερά, ὅτι καὶ τὸ σῶμα[19] ἡμῶν προστετάχαμεν ἐκεῖσε ἀποκομισθῆναι. Τὴν δὲ διάταξιν τῆς διακοσμήσεως[20], ἣν ἂν οἱ Αἰγύπτιοι ἱερεῖς δικαίαν κρίνωσι ποιεῖν, οὕτω καὶ ἡμεῖς συγχωροῦμεν. Ἐντετάλμεθα δὲ Θήβας τῆς Βοιωτίας ἐπανορθοῦν καὶ κοσμεῖν ἐκ τῶν βασιλικῶν χρημάτων. ἱκανὸν ἐκρίναμεν, ὅσον ἠτυχήκασιν ὑβρίσαντες[21], καὶ ἐπαιδεύθησαν πρὸς σωφροσύνην ἀξίως τῶν ἡμαρτημένων εἰς ἡμᾶς. Διαδόσθαι δὲ καὶ σῖτον ἐκ Μακεδονίας τοῖς Θηβαίοις, ἄχρις ἂν εὐανδρήσῃ ἡ πόλις.[22] Συντετάχαμεν δὲ καὶ ὑμῖν δοῦναι

τε'Α εἰς τὴν ἐπισκευὴν τῆς πόλεως χρυσᾶ νομίσματα τάλαντα τριακόσια καὶ

---

[1] M: ἐθεώρουν. [2] A: ἐπὶ τῷ γενονότι συμπτώματι. [3] A: Πευκῶος. [4] So et BC. M: οὐκ εὐπρεπής. [5] Æ: ἦν — εἶχε. A: καὶ οὐδεμίας ἀξιώσεως ὑφηγούμενος. [6] Besser M: ἐπ' ἀγαθῷ δὲ καὶ σύ. [7] Vermutl. ի քո վախճանել. [8] l. մեզ st. մեր. [9] w: φανερὸν σημεῖον. [10] So gebe ich nach A. Æ schliesst ἐπειδὴ — Μακεδόνες an den vorigen Satz an. [11] Der letzte Abschnitt etwas anders bei A. [12] Æ: Ὑμεῖς. [13] A: διὸ καὶ ἐγράψαμεν. [14] A: εὐχάριστον. [15] A: πεφροντικότες. [16] A: οὐχ ἴσον [!]. [17] Nach διδόντες von A. Æ: εἰλήφαμεν. [18] l. փառաց st. կամաց, da δόξα hier nicht 'Meinung, Wille', sondern 'Ruhm' bedeutet. [19] Das arm. Wort bed. genau πτῶμα. [20] oder κατασκευῆς. [21] St. կրել wird արարեալ zu lesen sein. [22] Æ: Plur.

A: σὺ ἡμᾶς εἰ ἀπολείψῃς, ἀπολοῦμεν Μακεδονίαν· σοῦ δὲ τελευτῶντος κτλ.

Bl: σὺ μὲν περιλαμβάνεις ἡμᾶς --

μετεστήσαντο πάλιν τοὺς περὶ Περδίκκαν καὶ Ὀλκίαν καὶ κατασχὼν ἐκέλευσεν ἀναγιγνώσκειν τὴν διαθήκην. ἔστι δὲ τοῦ μερισμοῦ τῆς διαθήκης ἀντίγραφον τὸ ὑποτεταγμένον, ὃ ἔλαβε παρ' Ἀλεξάνδρου Ὀλκίας.

τάγμασι καὶ βουλῇ

× αλλ. A: τότε (τόδε τῷ M.) ἐπὶ Μακεδονίας ἐπιμελητῇ Κρατερῷ ἐντάλμεθα (ἐνετειλάμεθα M.) καὶ τῷ Αἰγύπτου σατράπῃ Πτολεμαίῳ καὶ τῷ κατὰ τὴν Ἀσίαν Περδίκκᾳ καὶ Ἀντι(γόνῳ)· ὑμῖν δὲ πάλιν ἐντελλόμεθα λαβόντες τὴν ἐπιστολὴν παρὰ Ὀρκία (Ὀλκία M.) τοῦ ἀποδιδόντος ὑμῖν (αὐτὴν τὸ M.) συμφέρον τὸ ἴδιον σταθμωμένους μὴ ἀγνοῆτε, ὅτι δὲ ὑμῖν συνοίσει τούτους βραβεύειν ..... (εἰ)ς τὴν ὑμετέραν πόλιν συνάξειν· μάλιστα δὲ πέπεισμαι πειθαρχεῖν ὑμᾶς τοῖς ἐμοῖς λόγοις·

Γ αλλ. A: ἐὰν δὲ μὴ βούληται κατοικεῖν ἐν Ῥόδῳ γιγνέσθω (ὅπου M.) βούληται λαμβάνουσα τὰς αὐτῆς προσόδους ἃς καὶ ἐπὶ Ἀλεξάνδρου τοῦ υἱοῦ αὐτῆς ἐ(λάμβανεν M.). Ἄχρι τοῦ δόξαι Μακεδόσιν βασιλέα ἀποδεῖξαι. ---

××) αλλ. A: Λυσίμαχον δὲ ἐπὶ Θρᾴκης καὶ γυναῖκα τούτῳ Θεσσαλονίκην τὴν Φιλίππου τοῦ βασιλέως γενομένου Μακεδονίας θυγατέρα· δίδωσι δὲ τὴν ἐφ᾽ Ἑλλησπόντου τῷ σατράπῃ (Ἑλλησπόντῳ ἅπασαν M.) Ἀλεῶνα (Λεοννάτῳ M.) καὶ γυναῖκα τούτῳ Κλεονίκην, τὴν ἀδελφὴν Ὀλκίου· Παφλαγονίαν δὲ καὶ Καππαδοκίαν Εὐμένει τῷ ὑπομνηματογράφῳ· τοὺς δὲ νησιώτας ἀφίησιν ἐλευθέρους καὶ ἐπιτρόπους αὐτῶν Ῥοδίους εἶναι· Παμφυλίαν δὲ καὶ Κιλικίαν (καὶ Καρίαν Ἀντι M.) γόνῳ. Τούτων δὲ πάντων μέχρι τῶν ἐντὸς Ἅλυος ποταμοῦ χώρα παρεχέτω (τούτοις πᾶσα ἡ ἐντὸς Ἁ. π. χ. παρεχέσθω M.). Τῆς δὲ Βαβυλῶ(νος καὶ M.) τῆς προσηκούσης αὐτῇ (σατράπην εἶναι κελεύω vel tale quid M.) Σέλευκον ὁπλοφόρον· Φοινίκης δὲ καὶ Συρίας τῆς κοίλης καλουμ(ένης M.) Μελέαγρον· Αἰγύπτου Περδίκκαν καὶ Λιβύης καὶ Πτολεμαῖον καὶ γυναῖκα τούτῳ ---

× καὶ χρυσοῦ νενομισμένου τάλαντα (ν´ M. cum Val.) τῷ Ἡρακλεῖ ἀκροθίνια (τῆς M.) τοῦ πολέμου στρατιᾶς· A.

τριήρεις τεσσαράκοντα, ὅπως ἀσφαλῶς ἐλεύθεροι ἦτε. καὶ πυροῦ ἐξ Αἰγύπτου δωρεὰν κατ᾽ ἐνιαυτὸν μεδίμνους δισμυρίους[1], καὶ χώραν ὑμῖν καταμετρῆσαι, ὅπως ἔχητε ὑμῖν ἐν τῷ λοιπῷ χρόνῳ αὐτάρκη σῖτον καὶ μηδενὸς ἐνδέησθε.[2] Πτολεμαῖος δὲ τοῦ ἐμοῦ σώματος γενόμενος φύλαξ καὶ ὑμῶν φροντίσει[3]. καὶ ὅ τι[4] συνοίσει[5] ὑμῖν, δεδείχαμεν ταῦτα πάντα. Μὴ οὖν νομίζετε παρατεθεῖσθαι ὑμῖν τὴν διαθήκην ταύτην εἰκῇ, καὶ τοὺς ἐπιμελητὰς τῆς βασιλείας βεβαιοῦν[6], εἰ[7] ἔστιν ἔκ τινος θεωρίας τῶν ἀρχόντων διαίρεσις.[8]

Ἀποδείκνυσι[9] βασιλεὺς Ἀλέξανδρος υἱὸς Ἄμμωνος καὶ Ὀλυμπιάδος· σογ´.
Βασιλέα Μακεδονίας ἐπὶ μὲν τοῦ παρόντος Ἀριδαῖον[10] τὸν υἱὸν Φιλίππου λήψεσθε. [Ἐὰν] δὲ γένηται ἐκ Ῥωξάνης υἱὸς Ἀλεξάνδρου, τοῦτον λήψεσθε βασιλέα Μακεδόνων καὶ ὄνομα ἐπιθήσετε αὐτῷ, ὃ ἂν πᾶσι δόξῃ τοῖς Μακεδόσιν. ἐὰν δὲ θῆλυ γένηται ἐκ Ῥωξάνης, ἑλέσθωσαν ἐκλεγόμενοι οἱ τῶν Μακεδόνων σοφοί, ὃν ἂν βούλωνται ἑαυτῶν βασιλέα, ἐὰν μὴ βούλωνται Μακεδόνες A
Ἀριδαῖον τὸν Φιλίππου υἱὸν βασιλεύειν ἑαυτῶν. Ὁ δὲ αἱρεθεὶς διαφυλαττέτω τὴν τῶν Ἀργιάδων[11] ἀρχήν, καὶ φόρον δότωσαν τοῖς Ἀργιάσιν μετὰ τοῦ βασιλέως τὰ νομιζόμενα. καὶ κατ᾽ ἰδίαν ἐξέστω Ὀλυμπιάδι τῇ μητρὶ Ἀλεξάνδρου κατοικεῖν ἐν Ῥόδῳ, ἐὰν τοῖς Ῥοδίοις δοκῇ.[12] Γ

Βασιλεὺς Ἀλέξανδρος Ἄμμωνος καὶ Ὀλυμπιάδος υἱὸς ἀποδείκνυσιν σοδ´.
ἐπιμελητὰς τῆς ἑαυτοῦ βασιλείας, πάσης[13] τῆς Μακεδονίας μὲν Κρατερὸν καὶ γυναῖκα Κευάνην[14] τὴν θυγατέρα Φιλίππου τοῦ τῆς Μακεδονίας βασιλέως.[15] καὶ Πτολεμαίῳ Αἴγυπτον καὶ γυναῖκα τούτῳ δίδωσι[16] Κλεοπάτραν τὴν ἀδελφὴν Ἀλεξάνδρου τοῦ ἀρχιστρατηγοῦ τῶν ἀνδρείων. om. A
τῆς δὲ ἐπάνω τῆς Βαβυλωνίας χώρας μέχρι τῶν Βακτριανῶν σατράπην[17] ἀποφηνάτωσαν καὶ om. A
ἐπιμελητὴν Περδίκκαν[18] καὶ γυναῖκα τούτῳ Ῥωξάνην τὴν γυναῖκα Ἀλεξάνδρου.[19] Βακτριανήν A
Προστάσσει[20] δὲ τοῖς ἐπιμεληταῖς τῆς βασιλείας κατασκευάσαι χρυσῆν κιβωτὸν ἀπὸ δισμυρίων[21] ταλάντων, εἰς ἣν τεθήσεται τὸ σῶμα Ἀλεξάνδρου τοῦ κοσμοκράτορος. πέπλον χρυσοῦν τοῦ Μακ. βασιλέως
Ἀποστεῖλαι δὲ τοὺς τῶν Μακεδόνων πρεσβυτέρους τοὺς ἠσθενηκότας εἰς Μακεδονίαν καὶ εἰς Θεσσαλονίκην[22], διδόναι δὲ ἑκάστῳ χρήματα κατ᾽ ἀξίαν.[23] Καὶ εἰς Ἀθήνας χιτῶνα καὶ χρυσοῦν om.
θρόνον[24] Ἀθηνᾷ, ἡ ἐν τῷ καλῷ τῷ ἐπάνω Παρθενῶνι. Ἀποστεῖλαι δὲ εἰς Ἄργος[25] τὴν πανοπλίαν Ἀλεξάνδρου τοῦ βασιλέως × ἀκροθίνια τῷ Ἡρακλεῖ, τῇ δὲ πόλει χρυσᾶ νομίσματα ἑκατὸν πεντήκοντα τάλαντα[26]. Ἀποστεῖλαι δὲ καὶ εἰς Δελφοὺς[27] τῶν ἐλεφάντων τοὺς ὀδόντας καὶ τὰς

---

[1] Anders und umfangreicher A. [2] A hat hier 9 Zeilen mehr. [3] Æ Inf. Praes. [4] A und Æ: ὅτι. [5] ὠφέλειαν οἴσει. [6] Wohl = festsetzen, entscheiden, wie βραβεύειν [A]. [7] Æ: καὶ. [8] διαφωνία. [9] Æ hat zwar auch ἀποδεικνύουσα [A] und zieht dies zum Vorigen, doch unverständlich. Richtig die Vermutung von M. [10] A: Ἀραδαῖον. [11] Vgl. Arrian. Exp. II 5, 9: αὐτὸς δὲ ἀπ᾽ Ἄργους τῶν Ἡρακλειδῶν εἶναι ἠξίου. Das arm. Wort in erster Linie: Ἀργείων. Doch V: Argiadum. [12] l. թէ Հռոդացւոց կամ լիցի. [13] Von Æ zu βασιλ. gezogen. [14] A: κοινήν [Κοινήν]. [15] Hier folgen bei A 14 Zeilen, die bei Æ fehlen. Auch V hat mehr. [16] Æ: Inf. [17] A: στρατάρχην. [18] A: Φανοκράτην. So auch V. [19] A: Ῥωξ. τὴν Βακτριανήν — in Widerspruch mit der sonst vorgetragenen Ansicht über die Herkunft der Rh. [20] Nach A. Æ: προστάξω [δώσω]. [21] A: σ´. [22] A: Θεσσαλίαν. [23] A: χρυσίου τάλαντα γ´. V: tria milia drachmarum. [24] Vgl. Syr.: ‘Und ein königliches Gewand von mir und meinen goldenen Thron . .’ [25] A: Αἰγάς. Doch V: Argos. [26] V: drachmas L. Bei A fehlt die ganze Bestimmung. [27] Æ setzt die Form Δελφίς voraus.

III, 33.

δορὰς τῶν δρακόντων καὶ φιάλας χρυσᾶς ἑκατὸν[1] καὶ δακτυλίους[2] δοκίμους ἑκατόν.[3] × Τὸν δὲ Περδίκκαν, ὃν καταλείπω τῆς Αἰγύπτου βασιλέα σὺν τῇ ἐκτισμένῃ Ἀλεξανδρείᾳ πόλει τῇ μητροπόλει [κελεύω ἐπιμελεῖσθαι], ὅπως χρήσεσθε τῇ ἐμῇ ἐπονομασίᾳ τῆς πόλεως Ἀλεξάνδρου, ἵνα μένῃ ἀσφαλής.[4] Βασιλεὺς Ἀλέξανδρος ἀποδείκνυσι τῆς Ἰνδικῆς βασιλείας τῆς παρὰ τῷ Ὑδάσπῃ ποταμῷ παρεκτεινούσης Ταξιάδην, τῆς δὲ ἐχομένης[5] Πείθωνα. τῶν δὲ Παροπομισαδῶν[6] Ὀξυδάρκην τὸν Βακτριανὸν τὸν Ῥωξάνης πατράδελφον[7] τῆς Ἀλεξάνδρου γυναικός. Φιλίππῳ δὲ [παραδίδωσι] τὴν Βακτριανήν, τὴν Σουσιανὴν καὶ τὴν τῶν Πάρθων χώραν τὴν πρὸς νότον. ⌐ Καὶ ἀποφαίνει τῆς Ἰλλυρίδος βασιλέα Ὀλκίαν, δίδωσι[8] δὲ αὐτῷ ἵππους ἄγεσθαι ἐκ τῆς Ἀσίας πεντακοσίους [τάλαντα τρισχίλια].[9] καὶ ἀπὸ τούτου ποιήσας Ὀλκίας ἀνδριάντας χαλκοῦς Ἀλεξάνδρου[10], Ἄμμωνος, Ἀθηνᾶς, Ἡρακλέους, Ὀλυμπιάδος, Φιλίππου ἀναθέτω τούτους ἐν τῷ Ὀλυμπιακῷ τεμένει ἢ ὅπου ἂν αὐτῷ δοκῇ. ἀναθέτωσαν δὲ καὶ οἱ τῆς βασιλείας ἐπιμεληταὶ εἰκόνας Ὀλκίου⌐ ἀναθέτω καὶ Πτολεμαῖος ἐν[11] Αἰγύπτῳ εἰκόνας χαλκᾶς Ἀλεξάνδρου, Ἄμμωνος, Ἀθηνᾶς, Ἡρακλέους, Ὀλυμπιάδος, Φιλίππου."[12] L

ἀπὸ τοῦ Ὑδάσπου ποταμοῦ Πῶρον A.
om. A
om. A
Περδίκκας A
om. A

σοε'. Πάντων δὲ τούτων γενομένων εἰσελθόντος Ὀλκίου[13] Ἰσμηνίᾳ[14] Θηβαίῳ ἐκέλευσε κομίζεσθαι ἐπιστολήν. καὶ συνέταξεν[15] Ὀλκίαν ἐποξύνας αὐτὸν περὶ τῆς τῶν Θηβαίων χώρας. συνέταξε γὰρ ἀνακτίζειν[16] τὴν πόλιν Θήβας. ποιεῖ δὲ καὶ ἄλλην ἐπιμέλειαν. Ὁ οὖν Ἰσμηνίας χαρεὶς σὺν τῇ χώρᾳ μεγάλῃ προθυμίᾳ πρὸς ὑπηρεσίαν[17] ἀνεστράφη.

[illegible]

σος'. Ὁ δὲ Ἀλέξανδρος μαλάγματά τινα ἐμάλαξεν[18], ἃ Ῥωξάνη ἐπ' αὐτοῦ ἔβαλε, [καὶ] ἀπηλλάχθη τῶν πολλῶν ἀλγῶν, καὶ ἐκοιμήθη ἐπ' ὀλίγον. διὸ ἐπέσχε[19] τὴν ἄφεσιν[20] ἡμέρας πέντε. Τοῦ δὲ Ἀλεξάνδρου αἰτήσαντος ὕδωρ εἰς τὸ κλύζειν τὸ στόμα, πάλιν Ἰόλλας τὸ ποτήριον φαρμακοποιήσας παρεῖχεν αὐτῷ. Ὁ δὲ λαβὼν καὶ κλύσας τὸ στόμα εὐθὺς ἀνεβόησε μεγαλοφώνως καὶ ταχέως ἐλήφθη[21] ἄλγεσιν, ἀπογνοὺς τοῦ βίου καὶ τῶν κενῶν ματαιοτήτων τοῦ κόσμου τούτου.

σοζ'. Ἐκάλεσε πρὸς ἑαυτὸν Περδίκκαν καὶ Πτολεμαῖον καὶ Λουκίαν καὶ Λυσίμαχον τοὺς τῶν Μακεδόνων ἡγεμόνας. εἶπεν αὐτοῖς οὕτως· "Ἄνδρες, περὶ τῆς βασιλείας ὡς διατέταχα[22], λόγους[23] Ὀλκίας ἔχει ἐν παραθήκῃ,

---

[1] A: ιγ' st. ρ'. So auch V. [2] Fehlt bei A und V. [3] Hier folgt bei A V eine Bestimmung über die Milesier [und bei A: über die Knidier]. Auch weiterhin hat A Bestimmungen, die in Æ fehlen. [4] sc. ἡ ἐπονομασία. [5] Æ: ὡρισμένης. [6] So vermutl. st. Παραπλενησιάδων von Æ. [7] A: πατέρα. [8] Æ: δώσω. [9] Aus A. [10] Fehlt bei A V. [11] Æ irrig καὶ. [12] In einer Anm. geben die Herausgg. einen kurzen Brief Alex. an Olympias, aus einigen kurzgefassten Relationen, beginnend: Ὦ Ὀλυμπιάς, θύγατερ τῆς τῶν Θηβαίων βασιλέως . . ταύτην τὴν ἐσχάτην ἐπιστολὴν γράφω μετὰ δακρύων und endigend: ἔρρωσο τῷ υἱῷ σου, ὃν οὐκέτι ἑώρακας οὐδὲ ἔτι ὄψει εἰς αἰῶνα. Alex. erinnert darin an den Ausspruch des Nectanebos: οὐκ ἔστιν οὐδενὶ κατανικῆσαι τὴν εἱμαρμένην. [13] Hieraus lässt sich schliessen, dass am Schlusse von σοα'. zu lesen ist: ἐξέβαλε τὸν Περδίκκαν καὶ τὸν Ὀλκίαν. [14] Æ: Ἀσμένῳ, jedoch unten Ἰσμηνίας. [15] Nach der Var. կարգեաց. Die Recepta: βοᾶν, κράζειν, ἐπικαλεῖν. [16] Vgl. jedoch ρλδ'. [17] sc. τῆς οἰκοδομῆς. [18] Soll wohl heissen: lenimenta adhibuit. [19] 'hinhalten'. [20] ἀπόλυσιν. [21] oder συνεχύθη perturbatus est? Im folg. Cp. wird dasselbe Wort mit δακρύοις verbunden. [22] w: βεβαίως εἴρηκα. [23] St. բայց ἀλλά lese ich բանս λόγους [Befehle].

× Δοθήτω δὲ καὶ Μιλησίοις εἰς ἐπισκευὴν τῆς πόλεως χρυσίου νενομισμένου τάλαντα ρή
καὶ Κνιδίοις γεατ. (?) Βούλομαι δὲ καὶ Περδίκκαν καταλιπὼν βασιλέα σὺν (ἐν ? M.)
τῇ κτιζομένῃ Ἀλεξανδρείᾳ *** ὥστε μένειν μακαρίως μελλομένης τῶν πάντων δεσπό-
ζοντι μεγάλῳ Σεράπιδι καὶ ἀνθρώπων (ἐνιαύσιον ? M.) καταστῆναι ἐπιμελιστὴν τῆς
πόλεως. κληθήσεται δὲ ἱερεὺς Ἀλεξάνδρου. καὶ προσελθούσεται μεγίστῃ πόλει (μεγί-
σταις πολεως ? M.) δόξαις κεκοσμημένος χρυσέῳ στεφάνῳ καὶ πορφυρείδι, λαμβά-
νων ἐνιαύσιον τάλαντον. καὶ οὗτος ἔσται ἀνύβριστος καὶ πάσης λειτουργίας ἀ-
πολυθήσεται. λήψεται δὲ ὁ τοιοῦτος τὴν τάξιν ταύτην ὁ διαφέρων ἐν γένει τῶν
ἄλλων πάντων καὶ μένει αὕτη ἡ δωρεὰ αὐτοῖς δὲ καὶ ἐγγόνοις add. A.

⌐ τὴν δὲ Παρσουδίαν (Παρθυαίαν) καὶ τὰ ἐχόμενα αὐτῆς Συρταμίαν (τὴν ἐχομένην ἀ. Ὑρκανίαν
Ἀρταφερνῇ (Φραταφερνῃ M.). Καρδανίαν (Καρμανίαν M.) δὲ Τληπολέμῳ. τὴν δὲ Περσί
Πευκέστῃ σατράπῃ. Ὀξύντην (Ὀξυδάτην ? M.) μεταστῆσαι (μεταστῆναι κελεύει M.) ἐπὶ
τῆς Μηδίας add. A

F περίμετρον ἐν ἀγυιέας (στε M.) καὶ ἀνδριάντας χρυσέας ἐν Δελφοῖς add. A

L Τούτων δὲ πάντων ~~γενομένων~~ (οὗτοι δὲ πάντες ? M.) ἔστωσαν θεοί, ἐποίει αἱ ὀλυμπίαι
Ἡρακλῆς (ὅπως ὁ Ὀλυμπίοις Ἡ. ? M.) πρῶτος γεν ἄρης (γενάρχης ? M.) Ἀλεξάνδρου τοῦ
βασιλέως. οὐ τοσούτους δὲ βασιλεῖς Ἀλ. πολεμῶν ἐνίκησεν ὅσους ..... v. infra

καὶ[1] οἱ Ῥόδιοι λήψονται κατεσφραγισμένους.[2] ἐν δὲ τῷ παρόντι Περδίκκᾳ καὶ Ἀντιπάτρῳ παρατίθημι τὰς γραφάς.” Ὁ δὲ Ὀλκίας εὐθέως τὴν χεῖρα περὶ τὸ περιστόμιον βαλὼν καὶ μέγα ἀναβοήσας ἐξῆλθε. Καὶ τὸν Λυσίμαχον πρὸς ἑαυτὸν καλέσας[3] εἶπεν· “Ἴθι εἰς Θρᾴκην καὶ μὴ δάκρυε.” Ἐξῆλθε δὲ καὶ οὗτος ἀναβοήσας. Τὸν δὲ Πτολεμαῖον ἑαυτῷ παρακαθισάμενος εἶπεν· “Ἴθι καὶ σὺ εἰς Αἴγυπτον καὶ τοῦ σώματος ἡμῶν ἐπιμελοῦ.” Λεπτῶς[4] δὲ ἐλάλησε σὺν αὐτῷ, ἵνα μή τις ἀκούσῃ. ὅθεν καὶ Πτολεμαῖος ταχέως ἐδάκρυσε[5] καὶ τῷ ἱματίῳ ἐκάλυψε τὸ πρόσωπον καὶ κρύφα ἐδάκρυεν.

Ἡ δὲ νόσος ἐπὶ τοῦ βασιλέως ἐπίσχυε καὶ ἄλλο οὐκ ἠδύνατο ἔτι λαλεῖν. σοη´.
καὶ ἔκτασις [?] σφοδρῶς ἐπέπεσε, καὶ στενάζων ἔλεγε· “Σοὶ παρατίθημι τὸν θρόνον τῆς ἐμῆς βασιλείας, ὦ ἄνω πρόνοια, ἣ κυριεύεις οὐρανοῦ καὶ γῆς, ἄρχουσα τῆς θαλάσσης καὶ τῆς γῆς, ἰσχύουσα καὶ δυνατωτέρα πάντων τῶν θεῶν καὶ δαιμόνων. καὶ νῦν παράλαβε ἐμέ, Ἡράκλεις καὶ Ἀθηνᾶ, καὶ ὑμεῖς ἄνδρες πάντες χαίρετε [?].”[6] Καὶ πονῶν ὀδύνῃ τὸν δακτύλιον ἔδωκε Περδίκκᾳ.

Ἡ δὲ Ῥωξάνη φωνῇ μεγάλῃ ἀναβοήσασα καὶ τὰς τρίχας τίλλουσα σοθ´.
ἠβούλετο πρὸς τοὺς πόδας τοῦ ἀνδρὸς αὐτῆς Ἀλεξάνδρου πίπτειν. Καὶ λαβὼν τῆς χειρὸς αὐτὴν Ὀλκίας ἤγαγε πρὸς Ἀλέξανδρον. Καὶ μεγάλως ὠρυόμενος [καὶ] στενάζων Ἀλέξανδρος καὶ τὴν χεῖρα ἀγαγὼν περὶ τὴν κεφαλὴν αὐτῆς καὶ περιλαβὼν τὴν δεξιὰν χεῖρα αὐτῆς ἔθηκεν εἰς τὴν χεῖρα Περδίκκου. καὶ κατανεύων φανερῶς ἀνέδειξεν ἐπιμελῶς παραθείς. Καὶ ὅσον τοῦτο ἔπραξεν, ἡ ἀρρωστία ἐπελθοῦσα ταχέως ἔθλιψε.[7] τότε τοὺς ὀφθαλμοὺς παραγενομένη ἔσχε[8] Ῥωξάνη ἡ γυνὴ αὐτοῦ. Καὶ κύκλῳ ἀνὰ τρεῖς περιέστασαν ἔνθεν τε καὶ ἔνθεν Περδίκκας, Πτολεμαῖος, Λουκίας. Καὶ τούτου ἐκπνεύσαντος οὗτοι περιέστειλαν αὐτόν.

Καὶ οὕτως Ἀλέξανδρος ὁ κοσμοκράτωρ καὶ μέγας βασιλεὺς πρὸς τοὺς σπ´.
θεοὺς ᾔει βιώσας ἔτη τριάκοντα τρία.[9] Ἀλλ᾽ οὐ κακῶς οἴομαι λέγειν τοὺς λέγοντας Διὸς αὐτὸν υἱὸν εἶναι. οὐδὲ τοὺς Ἄμμωνος λέγοντας. παρὰ πολὺ γὰρ ὑπερέβαλε τὴν ἀνθρωπίνην φύσιν σωφροσύνῃ, δικαιοσύνῃ, ἐγκρατείᾳ, ἐλευθεριότητι[10], ἀνδρείᾳ. πολλοὺς πολέμους ἀπετέλεσε[11] καὶ ἔπραξε πάντα αὐτὸς τῷ ἰδίῳ σώματι. καὶ μαρτυρεῖ τοῦτο αὐτὰ τὰ πράγματα.

Ἐλθὼν δὲ πρὸς αὐτὸν Πτολεμαῖος εἶπεν· “Ἀλέξανδρε, τίνι καταλείπεις σπα´.[12]
τὴν βασιλείαν;” Λέγει· “Τῷ ἰσχύοντι, θέλοντι, σῴζοντι, συντελοῦντι.”
|| Ταῦτα δὲ αὐτοῦ εἰπόντος εὐθὺς ἐν αὐτῇ ταύτῃ τῇ ὥρᾳ ἐγένετο ὁμίχλη

[illegible] [illegible] [illegible]. [illegible] ἀστὴρ κατερχόμενος Gr. τοῦ ἀέρος καὶ σκότος, καὶ ἐφάνη ἀστραπὴ[1] πεσοῦσα ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν θάλασσαν, καὶ σὺν αὐτῇ ἀετὸς μέγας, καὶ τὸ χαλκοῦν ἄγαλμα Διός, ὃ ἐν Βαβυλῶνι ἦν, ἐκινήθη[2], καὶ ἡ ἀστραπὴ εὐθὺς πάλιν ἀνῆλθεν εἰς τὸν οὐρανόν, καὶ ὁ ἀετὸς σὺν αὐτῇ ἦλθεν ἔχων ἐν ἑαυτῷ ἀστέρα φεγγώδη.[3] om. Gr. κρυβέντος δὲ τοῦ ἀστέρος ἐν τῷ οὐρανῷ εὐθὺς καὶ Ἀλέξανδρος ἐκάμμυσε τοὺς ὀφθαλμούς. ἐκοιμήθη τὸν αἰώνιον ὕπνον Gr.

---

[1] l. և հռոդացիք st. զհռոդացիք. [2] Nach der Var. մատնահարեալ[ս]. Die Recepta: δῶρα, ἐπιχορηγηθέντα. [3] Ἀλέξανδρος. [4] ‘mit schwacher Stimme’. [5] Vgl. σος´. ταχ. ἐλήφθη ἄλγεσιν. Oder ἐπόνησε δακρύοις? [6] Ich gebe vermutungsweise ուրախ լերուք wieder, da mir die überlieferte Lesart ուրայի վերուք unverständlich ist. [7] Nach Var. [4 Hdsn.] շտապէր և նեղէր. [8] Etwa կափոյց ἐκάμμυσε st. կայաւ? [9] Auch V: triginta tres. A: λ´ [10] munificentia. Oder ἁπλότητι sinceritate. [11] Æ: ἀπήλασε. [12] Da schon am Schlusse von σοθ´. das ἐκπνεῖν Alexanders berichtet ist, so folgt, dass dies Cp. entweder an unrichtiger Stelle steht oder aus einer anderen Quelle hinzugefügt ist. Nach einer Anm. haben einige Hdss., welche die Biographie in kürzerer Fassung geben, die Frage des Ptol. vor dem Bericht über den Tod.

σπβʹ. Οἱ δὲ Πέρσαι ἐμάχοντο βουλόμενοι τὸν βασιλέα εἰς τὴν Περσίδα ἀνακομίσασθαι καὶ σὺν[4] τῷ θεῷ Μίθρᾳ προσκυνῆσαι, οἱ δὲ Μακεδόνες εἰς Μακεδονίαν. Αὐτοῖς εἶπε Πτολεμαῖος[5]· "Ἔστι μαντεῖον Βαβυλωνίων Διός. παρ' αὐτοῦ χρησμὸν λήψομαι, ποῦ ἂν τὸ σῶμα ἀγάγωμεν τὸ τοῦ Ἀλεξάνδρου." Ἐρωτηθεὶς[6] δὲ ἐχρημάτισεν ὁ τῶν Βαβυλωνίων Ζεὺς οὕτως· "Ἐγὼ αὐτὸς[7] χρησμὸν δίδωμι τὸν συμφέροντα πᾶσιν ὑμῖν. πόλις ἔστιν ἐν Νιέᾳ[8] πρὸς Ὠκεανοῦ ῥείθροις, πέντε ἀγροὺς βασιλικοὺς λαβοῦσα[9], πλουσιωτάτη, ἐγγὺς τῆς τῶν Ἀμαζόνων γῆς, τοὔνομα Μέμφις. ἐκεῖσε πέμψας ἄγαγε καὶ κατάπαυσον τὸν ἀθάνατον[10] γενόμενον υἱόν, καὶ τὸν αὐτὸν βασιλέα κερασφόρον μετὰ χαρᾶς τίμησον.[11]" Οὕτω τοῦ χρησμοῦ δοθέντος

ληψόμεθα Gr.

καὶ Ὠκεανοῦ ῥ. ἔστι πόλις
τοὔνομα Μέμφις [illegible]
[illegible] Gr.

34.

σπγʹ.[12] ἔπειτα ἔλαβε Πτολεμαῖος φέρειν εἰς Αἴγυπτον. καὶ ἔλαβε μολυβδίνην λάρνακα[13] καὶ ἐπέβαλεν αὐτῇ μέλι νησιωτικὸν[14] καὶ ἀλόην ἡπατικήν. καὶ σμυρνίσας τὸ σῶμα καὶ θέμενος ἐπὶ ἅμαξαν ἡμιόνων ἤγαγεν εἰς Αἴγυπτον. Ἐπεὶ δὲ εἰς Πηλούσιον ἦλθον, οἱ Μεμναῖοι[15] ὑπήντησαν σὺν αὐληταῖς πρὸ τῶν εἰδώλων[16] κατὰ τὸ εἰωθὸς καὶ εἰσήγαγον εἰς Μέμφιν οἷον[17] Σεσόγχωσιν κοσμοκράτορα ἡμίθεον.[18] Φωνὴ δὲ ἐγένετο λέγουσα· "Ἀγάγετε εἰς τὴν πόλιν αὐτοῦ, ἣν αὐτὸς ἔκτισεν. ὅπου γὰρ ἂν ᾖ τὸ σῶμα τούτου, οὐ παύεται ὁ τόπος οὗτος πολέμου καὶ μάχης, ὅτι πολέμου γέννημά ἐστιν."

σπδʹ. Τότε οὖν ποιεῖ αὐτῷ τάφον Πτολεμαῖος ἐν τῇ Ἀλεξανδρείᾳ, ὃς μέχρι τοῦ νῦν καλεῖται "Ἀλεξάνδρου σῶμα".[19] καὶ ἐκεῖ ἔθηκεν αὐτὸν μεγαλοπρεπεῖ τιμῇ [[1] ἐντείλαντος Ἀλεξάνδρου οὕτω διοικεῖν τὴν πόλιν, ἣ εἰς τὸ ὄνομα αὐτοῦ ἐκτίσθη καὶ μέλλει πασῶν δεσπόζειν. θεοῖς, τῷ μεγάλῳ Σαράπιδι καὶ Ἄπιδι, καθιστάναι ἐν τῇ πόλει ἱερέα[2], ὃς ὅταν ἐξέλθῃ, μεγάλῃ δόξῃ ᾖ κεκοσμημένος χρυσῷ στεφάνῳ καὶ πορφύρᾳ, λαμβάνοντα ἐνιαύσιον τάλαντον ἕν.[3] Καὶ οὕτω ἔσται ἀνύβριστος καὶ πάσης λειτουργίας ἀπολυθήσεται. λήψεται δὲ ὁ τοιοῦτος τὴν τάξιν τῆς τιμῆς ταύτης ὁ διαφέρων[4] τῷ γένει πάντων τῶν ἀνθρώπων. καὶ μενεῖ βεβαία ἡ δωρεὰ αὕτη καὶ τοῖς υἱοῖς αὐτοῦ.] | [illegible] in A.

---

[1] Dagegen V: e nubibus draconis effigies ignitissima caelitus labitur mare usque. [2] Die Hdss. boten տանէր. Die Herausgg. haben nach V [nutare] տատանէր gesetzt. [3] Var. in den kürzeren Relationen: ἔχων ἐν ἑαυτῷ τὴν ψυχὴν αὐτοῦ ἀστεροειδῆ λάμπουσαν. [4] V: pro deo Mithra. So kann auch der armen. Ausdr. wiedergegeben werden. [5] Die Frage des Begräbnisses konnte so, wie hier geschieht, nur behandelt werden in einer Relation, in welcher ein Testament, wie es A bietet, nicht enthalten war. Vgl. σοβʹ. [6] l. Հարցեալ st. Հարկեալ [ἀναγκασθείς]. [7] oder αὐτομάτως sponte. [8] Offenb. Verlesung od. Verschreibung für Νεῖλος, was V hat. [9] Wohl = 'den Raum von . . . einnehmend.' [10] Æ: ἀθανάτων. [11] l. պատուեա՛ st. պատճառ [αἰτία] und խնդութ՟բ. [12] Dies Cp. ist nach der Anm. den kürzeren Relationen entnommen. [13] Vermutl. տապատակ st. տախտակ [πίναξ]. [14] So vermute ich st. des überlieferten μνη — od. μνεσιωτικόν. Der Honig von den Inseln galt als vorzüglich. Beim Syr. ist von 'ungeschmolzenem, weissen Honig' die Rede. [15] B: Μεμφῖται. [16] V: una cum diis. [17] V: juniorem Sesonchosim venerati. Hiernach scheint առ in der Bdtg. von զոր օրինակ = ὃν τρόπον gefasst werden zu müssen. [18] Æ: κοσμ. θεῶν od. δαιμόνων. Doch ist wohl st. դիցն zu lesen: դիւցազն ἥρωα, ἡμίθεον. In der Berliner Hds. steht դին = cadaver, τὸν νεκρόν. [19] St. σῆμα.

BL: συνεχώρουν Πτολεμαίῳ βαδίζειν καὶ κομίζειν αὐτὸν ἐν μολυβδίνῃ λάρνακι εἰς Μέμφιν τὴν πόλιν ἐσμυρνισμένον. Θέμενος δὲ αὐτὸν ὁ Πτολεμαῖος ἐπὶ ἅμαξαν τὴν πορείαν ἐποιεῖτο ἀπὸ Βαβυλῶνος εἰς Αἴγυπτον. Ἀκούσαντες δὲ οἱ Μεμφῖται ὑπήντησαν τῷ σώματι Ἀλεξάνδρου καὶ εἰσάγουσιν αὐτὸ εἰς Μέμφιν. εἶπε δὲ ὁ ἀρχιπροφήτης τοῦ Μεμφίτου ἱεροῦ· ὧδε αὐτὸν μὴ καθιδρύσητε (?) ἀλλὰ εἰς ἣν ἔκτισεν πόλιν ἐν τῇ Ῥακώτιδι· ὅπου γὰρ ἂν ᾖ τὸ σῶμα τούτου, ἀκατάστατος ἡ πόλις ἐκείνη ἔσται, πολέμοις καὶ μάχαις ταραττομένη. εὐθέως οὖν ὁ Πτολεμαῖος ἄγει αὐτὸ εἰς Ἀλεξάνδρειαν καὶ ποιεῖ τάφον ἐν τῷ ἱερῷ τῷ καλουμένῳ Σῶμα Ἀλεξάνδρου κἀκεῖ τὸ σῶμα ἤτοι τὸ λείψανον Ἀλεξάνδρου καθίδρυσεν.—

Οὐ τοσούτους δὲ βασιλεῖς[5] πολεμῶν Ἀλέξανδρος ἐνίκησεν, ὅσους τελευτῶν σπε'.
35. κατέλειψεν.[6] || Ἐβίωσε μὲν οὖν[7] ἔτη τριάκοντα τρία ἀπὸ ὀκτὼ καὶ δέκα = IV, ιε' A
ἐτῶν[8] ἀρξάμενος πολεμεῖν καὶ μαχεσάμενος ἐν πολέμοις ἔτη ἑπτά, μέχρις ιζ' A
εἴκοσι πέντε ἐτῶν ἐγένετο. τὰ δὲ ἄλλα ὀκτὼ ἔτη ἔζησεν ἐν εἰρήνῃ.[9] καὶ κ' A ιβ' A
διὰ τῆς τοῦ ἐναντίου ἐπιβουλῆς ἀφῃρέθη[10] ἐν τῷ ἡμίσει τῶν ἡμερῶν.
καὶ ὑπέταξε πολλὰ ἔθνη, βαρβάρων εἴκοσι δύο καὶ Ἑλλήνων δώδεκα. ι' A
ἔκτισε δὲ πόλεις δώδεκα, αἵτινες μέχρι τοῦ νῦν εἰσιν εὔκοσμοι καὶ τέλειαι ιβ' A
καὶ κατοικοῦνται ὑπὸ ἀναριθμήτων ἀνθρώπων· 1) Ἀλεξάνδρειαν, ἣν εἰς[11] Βουκέφαλον ἵππον ἔκτισεν,[12] 2) Ἀλεξάνδρειαν τὴν κατ' Ἰσσόν,[13] 3) Ἀλεξάνδρειαν τὴν ἐπὶ Πώρῳ, 4) τὴν ἐν Γρανίκῳ[14] Ἀλεξάνδρειαν, 5) Ἀλεξάνδρειαν τὴν Σκυθίας, 6) τὴν Μεσοποταμίας Ἀλεξάνδρειαν, 7) Ἀλεξάνδρειαν τὴν ἐπὶ τοῦ Τίγριδος ποταμοῦ, 8) Ἀλεξάνδρειαν τὴν [ἐν] Βαβυλῶνι, 9) Ἀλεξάνδρειαν τὴν Τρωϊάδα, 10) Ἀλεξάνδρειαν τὴν εἰς Μασσαγέτας,[15] 11) Ἀλεξάνδρειαν τὴν κατὰ Ξάνθον, 12) Ἀλεξάνδρειαν τὴν κατ' Αἴγυπτον.

Οὗτος ὁ δυνατὸς καὶ εὐτυχὴς κοσμοκράτωρ Ἀλέξανδρος ἐγεννήθη ἐν σπϛ'.
μηνὶ Τουβὶλ[16] κατὰ τοὺς Αἰγυπτίους τῇ πρώτῃ ἡμέρᾳ κατὰ τὴν ἀνατολήν, καὶ ἐτελειώθη ἐν Παρμοῦφιρ[17] τετράδι κατὰ τὰς δυσμάς| καὶ ἐκάλεσαν[18] τὴν ἡμέραν ταύτην ἱερὰν[19] διὰ τὸν Ἀλέξανδρον, ὃς νέος ἐτελεύτησε. | Der Schluss von [illegible] A ist nicht vorhanden. Müller
Καὶ αὕτη ἐστὶ συντέλεια[20] τοῦ χρόνου τοῦ βίου αὐτοῦ καὶ τῆς γεννήσεως καὶ τῆς προκοπῆς, τῆς νίκης καὶ τῆς ἀνδρείας, τῆς βασιλείας καὶ τῆς οἰκουμενικῆς ἀρχῆς, τῆς φρονήσεως καὶ τῆς σοφίας, τῆς δικαιοσύνης καὶ τῆς κρίσεως, τῆς σωφροσύνης καὶ τῆς γενναιότητος, ὃν διὰ τῆς ἄνω προνοίας διαγαγὼν βίον ἐπλήρωσε τὴν τελευτὴν τοῦ κοινοῦ θανάτου.

---

[1] Das Eingeklammerte schliesst sich nicht passend an, wie es denn auch bei V und A [hinter der Bestimmung über die Milesier und Knidier] einen Bestandteil des Testamentes bildet. [2] Bei A V ist von einem 'Priester Alexanders' die Rede. [3] Ich lese *առնլով տարեկան քանքար մի* st. *առնելով տարթորական* [pers. Wort für τάλαντον] *որ է քանքար մի*. [4] Æ unverständlich: τ. τιμῆς ταύτης καὶ ὑπερβαλεῖ τῇ ἐλευθερίᾳ τοῦ γένους πάντας τοὺς ἀνθρώπους. [5] Hier knüpft Æ die Schlussbemerkung von A zum Testament an. Übrigens giebt er Unverständliches: Πολλοὺς βασιλεῖς πολεμῶν Ἀλέξανδρος ἐνίκησεν, οὓς τελευτῶν κατέλειψεν. [6] Unter den letzeren sind m. E. die Diadochen gemeint. [7] Æ: γάρ. [8] l. *ամաց* st. *ամենից* [Æ: ἀπὸ ὀκτωκαιδεκαετῶν]. [9] Vgl. A. [10] sc. ἐκ τοῦ βίου. [11] A: ἐπὶ . . ἵππῳ. [12] Nach der Anm. fehlt diese Stadt in allen umfangreichen Hdss. und ist aus einer compendiösen eingesetzt in Übereinstimmung mit V. [13] Geschrieben: Κάττισον. [14] Bei Æ verschrieben. [15] Bei Æ verschrieben. [16] A: Τυβίου τῇ νεομηνίᾳ ἀνατολῆς οὔσης. [17] A: Φαρμοῦθι. [18] l. *կոչեցին*. [19] V: Obitus ejus diem etiam nunc Alexandriae sacratissimum habent. A: νεομηνίᾳ [?] Syr.: 'Jünglingstöter'. [20] consummatio.

УНИВЕРЗИТЕТСКА БИБЛИОТЕКА ★ БЕОГРАД ★

Expl. fol. 28.7.97.

— — 29, 9 v. u. l. ἀναγνόντος Ἀλεξάνδρου.

Force m'est trop.

Druck von W. Drugulin in Leipzig.